ἐστιν ἐφ' ἡμῶν οὐ τῆς οὐσίας ἀνυπαρξία κατὰ τὸ
is regarding us not of-the substance annihilation according-to the(-thing)
δόξαν ἑτέροις, ἀλλ' ἡ τῶν ἡνωμένων διάκρισις, εἰς
seeming to-others but the of-the(-things) united separation into
τὸ ἡμῖν ἀφανὲς ἄγουσα τὴν ψυχὴν μέν, ὡς ἐν στερήσει
the to-us invisible leading the soul indeed as in deprivation
σώματος ἀειδῆ γιγνομένην, τὸ σῶμα δέ, ὡς ἐν γῇ
of-body invisible becoming the body and as in earth
καλυπτόμενον, καθ' ἑτέραν τινὰ τῶν σωματοειδῶν
being-covered according-to another some of-the bodily
ἀλλοιώσεων, ἐκ τῆς κατ' ἄνθρωπον ἰδέας ἀφανιζόμενον·
alterations from the according-to man form disappearing
οἰκείως ἡ δι' ὕδατος ὁλικὴ κάλυψις εἰς τὴν τοῦ
fittingly the through water total covering for the of-the
θανάτου καὶ τοῦ τῆς ταφῆς ἀειδοῦς εἰκόνα παρείληπται.
death and of-the of-the burial invisible(-state) image has-been-adopted
Τὸν οὖν ἱερῶς βαπτιζόμενον ἡ συμβολικὴ διδασκαλία
the(-one) then holily being-baptized the symbolic teaching
μυσταγωγεῖ ταῖς ἐν τῷ ὕδατι τρισὶ καταδύσεσι τὸν
initiates by-the in the water three immersions the
θεαρχικὸν τῆς τριημερονύκτου ταφῆς Ἰησοῦ τοῦ ζωοδότου
thearchic of-the three-days-and-nights burial of-Jesus the life-giver
μιμεῖσθαι θάνατον, ὡς ἐφικτὸν ἀνδράσι τὸ θεομίμητον,
to-imitate death as (is)-attainable for-men the imitation-of-God
ἐν ᾧ, κατὰ τὴν τοῦ λογίου μυστηριώδη καὶ κρυφίαν
in which according-to the of-the oracle mysterious and hidden
παράδοσιν, οὐδὲν εὕρηκεν ὁ τοῦ κόσμου ἄρχων.
tradition nothing has-found the of-the world ruler

Ἑξῆς δὲ φωτοειδεῖς ἐσθῆτας ἐπιβάλλουσι τῷ τελουμένῳ· 8
next and light-formed garments they-put-on the(-one) being-initiated
τῇ γὰρ ἀνδρικῇ καὶ θεοειδεῖ τῶν ἐναντίων ἀπαθείᾳ,
by-the for manly and godlike of-the contrary(-things) impassibility
καὶ τῇ πρὸς τὸ ἓν ἐν συντονίᾳ συννεύσει, τὸ ἄκοσμον
and by-the toward the one in intensity convergence the unordered
κοσμεῖται, καὶ τὸ ἀνείδεον εἰδοποιεῖται, τῇ φωτοειδεῖ
is-ordered and the formless is-formed by-the light-formed
καθόλου ζωῇ λαμπρυνόμενον. Ἡ δὲ τοῦ μύρου τελειωτικὴ
wholly life made-bright the and of-the ointment perfecting
χρίσις εὐώδη ποιεῖ τὸν τετελεσμένον· ἡ γὰρ ἱερὰ
anointing fragrant makes the(-one) initiated the for holy
τῆς θεογενεσίας τελείωσις ἑνοῖ τὰ τελεσθέντα τῷ
of-the divine-birth perfection unites the(-ones) initiated to-the
θεαρχικῷ Πνεύματι. Τὴν δὲ νοητῶς εὐωδοποιὸν καὶ
thearchic Spirit the but intelligibly fragrance-making and
τελεσιουργὸν ἐπιφοίτησιν, ἀῤῥητοτάτην οὖσαν, ἐπιγνῶναι
perfecting visitation most-ineffable being to-recognize
νοερῶς παρίημι τοῖς ἠξιωμένοις τῆς κατὰ τὸν
intellectually I-leave to-the(-ones) deemed-worthy of-the according-to the
νοῦν τοῦ θείου Πνεύματος ἱερᾶς καὶ θεουργοῦ κοινωνίας.
intellect of-the divine Spirit holy and divinely-working communion
Ἐν τέλει δὲ πάντων ὁ ἱεράρχης ἐπὶ τὴν ἱερωτάτην
at (the)-end and of-all the hierarch to the most-holy
Εὐχαριστίαν καλεῖ τὸν τετελεσμένον, καὶ τῆς τῶν
Eucharist calls the(-one) initiated and of-the of-the
τελεστικῶν μυστηρίων αὐτῷ μεταδίδωσι κοινωνίας.
perfecting mysteries to-him imparts communion

III · THE SYNAXIS

The synaxis, called communion, is the rite of rites: every other sacrament is completed by it, gathering our divided life into union with the One. Dionysius will set out first its outward form, then its meaning.

1 Ἀλλ᾽ εὖγε, ὅτι ταύτης ἐμνήσθημεν, ἣν οὐ θεμιτὸν
but well-done that this we-have-mentioned which not (is)-lawful
ἐμοὶ παραδραμόντι, τῶν ἱεραρχικῶν τι πρὸ ταύτης
for-me having-passed-over of-the hierarchic(-rites) any before this
ἕτερον ὑμνῆσαι· καὶ γάρ ἐστι, κατὰ τὸν κλεινὸν ἡμῶν
other to-hymn and for it-is according-to the famous our
καθηγεμόνα, Τελετῶν τελετή, καὶ χρὴ πρὸ τῶν ἄλλων
leader of-rites rite and (one)-must before the others
αὐτὴν ἱερογραφικῶς ἐκθέμενον ἐκ τῆς ἐνθέου κατὰ
it in-the-manner-of-holy-writ having-set-forth from the inspired according-to
τὰ λόγια καὶ ἱεραρχικῆς ἐπιστήμης ἐπὶ τὴν ἱερὰν αὐτῆς
the oracles and hierarchic knowledge to the holy its
ἀναχθῆναι τῷ θεαρχικῷ Πνεύματι θεωρίαν. Καὶ πρῶτόν
to-be-led-up by-the thearchic Spirit contemplation and first
γε τοῦτο ἱερῶς ἐποπτεύσωμεν, ὅτου δὴ ἕνεκα
at-least this holily let-us-behold what indeed for-the-sake-of
τὸ κοινὸν καὶ ταῖς ἄλλαις ἱεραρχικαῖς τελεταῖς
the(-thing) common also to-the other hierarchic rites
ἐκκρίτως αὐτῇ παρὰ τὰς λοιπὰς ἀνατέθειται, καὶ ἐνιαίως
specially to-it beyond the rest has-been-assigned and uniquely
ἀνηγόρευται κοινωνία τε καὶ σύναξις, ἑκάστης ἱεροτελεστικῆς
it-has-been-named communion both and synaxis of-each holy-initiating
πραγματείας καὶ τὰς μεριστὰς ἡμῶν ζωὰς εἰς ἑνοειδῆ θέωσιν
operation and the divided our lives into uniform deification
συναγούσης, καὶ τῇ τῶν διαιρετῶν θεοειδεῖ συμπτύξει
gathering and by-the of-the divisible(-things) godlike folding-together

τὴν πρὸς τὸ ἓν κοινωνίαν καὶ ἕνωσιν δωρουμένης. Φαμὲν
the with the one communion and union bestowing we-say
δέ, ὅτι ταῖς τῶν ἄλλων ἱεραρχικῶν συμβόλων μεθέξεσιν,
and that to-the of-the other hierarchic symbols participations
ἡ τελείωσις ἐκ τῶν ταύτης θεαρχικῶν καὶ τελειωτικῶν
the perfection from the its thearchic and perfecting
ἐστι δωρεῶν. Οὐ γὰρ ἔνεστι σχεδόν τινα τελεσθῆναι
is gifts not for it-is-possible almost any to-be-performed
τελετὴν ἱεραρχικήν, μὴ τῆς θειοτάτης Εὐχαριστίας ἐν
rite hierarchic not the most-divine Eucharist in
κεφαλαίῳ τῶν καθ' ἕκαστα τελουμένων τὴν ἐπὶ
crowning of-the(-things) according-to each performed the to
τὸ ἓν τοῦ τελεσθέντος ἱερουργούσης συναγωγήν, καὶ
the one of-the(-one) initiated sacredly-effecting gathering and
τῇ θεοπαραδότῳ δωρεᾷ τῶν τελειωτικῶν μυστηρίων
by-the God-given gift of-the perfecting mysteries
τελεσιουργούσης αὐτοῦ τὴν πρὸς Θεὸν κοινωνίαν. Εἰ τοίνυν
perfecting his the with God communion if therefore
ἑκάστη τῶν ἱεραρχικῶν τελετῶν, ἀτελὴς μὲν οὖσα, τὴν
each of-the hierarchic rites imperfect indeed being the
πρὸς τὸ ἓν ἡμῶν κοινωνίαν καὶ σύναξιν οὐ τελεσιουργήσει,
with the one our communion and synaxis not will-perfect
καὶ τὸ εἶναι τελετὴ διὰ τὸ ἀτέλεστον ἀφῃρημένη· τὸ
and the to-be rite because-of the unperfected deprived-of the
δὲ τέλος ἁπάσης καὶ τὸ κεφάλαιον ἡ τῶν θεαρχικῶν
and end of-every(-one) and the crown (is)-the of-the thearchic
μυστηρίων τῷ τελουμένῳ μετάδοσις, εἰκότως ἡ
mysteries to-the(-one) being-initiated imparting fittingly the
ἱεραρχικὴ σύνεσις ἐπωνυμίαν αὐτῇ κυρίαν ἐκ τῆς τῶν
hierarchic understanding name for-it proper from the of-the
πραγμάτων ἀληθείας ἐφεῦρεν· οὕτω δὴ καὶ τὴν ἱερὰν τῆς
realities truth found thus indeed also the holy of-the

θεογενεσίας τελετήν, ἐπειδὴ πρώτου φωτὸς μεταδίδωσι,
divine-birth rite since first light it-imparts
καὶ πασῶν ἐστιν ἀρχὴ τῶν θείων φωταγωγιῶν, ἐκ
and of-all is source the divine light-guidings from
τοῦ τελουμένου τὴν ἀληθῆ τοῦ φωτίσματος ἐπωνυμίαν
the(-thing) effected the true of-the enlightenment name
ὑμνοῦμεν. Εἰ γὰρ καὶ πᾶσι κοινὸν τοῖς ἱεραρχικοῖς τὸ
we-hymn if for even to-all (is)-common the hierarchic(-rites) the
φωτὸς ἱεροῦ μεταδιδόναι τοῖς τελουμένοις, ἀλλ' αὕτη
light holy to-impart to-the(-ones) being-initiated yet this
τὸ πρώτως ἰδεῖν ἐδωρήσατό μοι, καὶ διὰ τοῦ ταύτης
the first to-see bestowed on-me and through the its
ἀρχικωτάτου φωτὸς ἐπὶ τὴν τῶν ἄλλων ἱερῶν ἐποψίαν
most-original light to the of-the other holy(-things) vision
φωταγωγοῦμαι. Ταῦτα δὲ εἰπόντες, ἀνασκεψώμεθα καὶ
I-am-guided-by-light these-things and having-said let-us-examine and
κατίδωμεν ἱεραρχικῶς τὴν καθ' ἕκαστον ἀκριβῆ τῆς
let-us-observe hierarchically the according-to each(-part) exact of-the
ἁγιωτάτης τελετῆς ἱερουργίαν καὶ θεωρίαν.
most-holy rite sacred-work and contemplation

THE MYSTERY OF THE SYNAXIS

The hierarch censes the sanctuary; after psalms and readings the unworthy are dismissed, the gifts set out, and the kiss given; he consecrates, communicates, and gives thanks.

1 Ὁ μὲν ἱεράρχης, εὐχὴν ἱερὰν ἐπὶ τοῦ θείου θυσιαστηρίου
the indeed hierarch prayer holy at the divine altar
τελέσας, ἐξ αὐτοῦ τοῦ θυμιᾶν ἀρξάμενος, ἐπὶ πᾶσαν
having-performed from it the to-cense having-begun to all

ἔρχεται τὴν τοῦ ἱεροῦ χώρου περιοχήν· ἀναλύσας δὲ
comes the of-the holy place circuit having-returned and
πάλιν ἐπὶ τὸ θεῖον θυσιαστήριον, ἀπάρχεται τῆς ἱερᾶς
again to the divine altar begins the holy
τῶν ψαλμῶν μελῳδίας, συνᾳδούσης αὐτῷ τὴν ψαλμικὴν
of-the psalms melody singing-with him the psalmic
ἱερολογίαν ἁπάσης τῆς ἐκκλησιαστικῆς διακοσμήσεως.
holy-discourse all the ecclesiastical ordering
Ἑξῆς δὲ διὰ τῶν λειτουργῶν ἡ τῶν ἁγιογράφων
next and through the ministers the of-the holy-written
δέλτων ἀνάγνωσις ἀκολούθως γίνεται· καὶ μετὰ ταύτας
tablets reading in-sequence takes-place and after these
ἔξω γίγνονται τῆς ἱερᾶς περιοχῆς οἱ κατηχούμενοι, καὶ
outside come the holy enclosure the catechumens and
πρὸς αὐτοῖς οἱ ἐνεργούμενοι καὶ οἱ ἐν μετανοίᾳ ὄντες,
besides them the possessed and the(-ones) in penance being
μένουσι δὲ οἱ τῆς θείων ἐποψίας καὶ κοινωνίας
remain but the(-ones) of-the of-divine(-things) vision and communion
ἄξιοι. Τῶν λειτουργῶν δὲ οἱ μὲν ἑστᾶσι παρὰ τὰς τοῦ
worthy of-the ministers and the indeed stand at the of-the
ἱεροῦ πύλας συγκεκλεισμένας, οἱ δὲ ἄλλο τι τῶν
sanctuary gates closed the and other something of-the(-things)
τῆς οἰκείας τάξεως ἐνεργοῦσιν. Οἱ δὲ τῆς λειτουργικῆς
of-the own rank do the and of-the ministering
διακοσμήσεως ἔκκριτοι σὺν τοῖς ἱερεῦσιν ἐπὶ τοῦ θείου
ordering chosen with the priests on the divine
θυσιαστηρίου προτιθέασι τὸν ἱερὸν ἄρτον καὶ τὸ τῆς
altar set-forth the holy bread and the of-the
εὐλογίας ποτήριον, προομολογηθείσης ὑπὸ παντὸς τοῦ τῆς
blessing cup having-been-first-confessed by all the of-the
ἐκκλησίας πληρώματος τῆς καθολικῆς ὑμνολογίας. Πρὸς οἷς
church fullness the universal hymnody at which

ὁ θεῖος ἱεράρχης εὐχὴν ἱερὰν τελεῖ, καὶ τὴν ἁγίαν εἰρήνην
the divine hierarch prayer holy performs and the holy peace
ἅπασι διαγγέλλει· καί, ἀσπασαμένων ἀλλήλους ἁπάντων,
to-all announces and having-greeted one-another all
ἡ μυστικὴ τῶν ἱερῶν πτυχῶν ἀνάῤῥησις ἐπιτελεῖται.
the mystical of-the holy tablets proclamation is-accomplished
Καί, νιψαμένων τὰς χεῖρας ὕδατι τοῦ ἱεράρχου καὶ τῶν
and having-washed the hands with-water the hierarch and the
ἱερέων, ὁ μὲν ἱεράρχης ἐν μέσῳ τοῦ θείου θυσιαστηρίου
priests the indeed hierarch in (the)-middle of-the divine altar
καθίσταται, περιεστᾶσι δὲ μόνοι μετὰ τῶν ἱερέων οἱ
takes-his-place stand-around and alone with the priests the
τῶν λειτουργῶν ἔκκριτοι. Καὶ τὰς ἱερὰς θεουργίας ὁ
of-the ministers chosen and the holy divine-works the
ἱεράρχης ὑμνήσας, ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπ᾽
hierarch having-hymned sacredly-performs the most-divine(-things) and under
ὄψιν ἄγει τὰ ὑμνημένα διὰ τῶν ἱερῶς προκειμένων
sight brings the(-things) hymned through the holily set-forth
συμβόλων· καὶ τὰς δωρεὰς τῶν θεουργιῶν ὑποδείξας, εἰς
symbols and the gifts of-the divine-works having-shown into
κοινωνίαν αὐτῶν ἱερὰν αὐτός τε ἔρχεται, καὶ τοὺς ἄλλους
communion of-them holy he-himself both comes and the others
προτρέπεται. Μετασχὼν δὲ καὶ μεταδοὺς τῆς θεαρχικῆς
urges having-partaken then and having-imparted of-the thearchic
κοινωνίας, εἰς εὐχαριστίαν ἱερὰν καταλήγει, τῶν πολλῶν
communion in thanksgiving holy ends the many
μὲν εἰς μόνα τὰ θεῖα σύμβολα παρακυψάντων, αὐτοῦ δὲ
indeed to only the divine symbols having-peered he but
ἀεὶ τῷ θεαρχικῷ Πνεύματι πρὸς τὰς ἁγίας τῶν
always by-the thearchic Spirit to the holy of-the(-things)

τελουμένων ἀρχὰς ἐν μακαρίοις καὶ νοητοῖς θεάμασιν
performed sources in blessed and intelligible sights
ἱεραρχικῶς ἐν καθαρότητι τῆς θεοειδοῦς ἕξεως ἀναγομένου.
hierarchically in purity of-the godlike habit being-led-up

CONTEMPLATION

Dionysius strips the rite's veils for Timothy. The hierarch's censing goes out to all and returns, as God goes forth without leaving himself. The psalms attune the soul; the readings teach. Those dismissed, from the catechumens to the possessed and penitents, are unready for the mysteries. The kiss unites, the diptychs proclaim the holy dead as living, the washing purifies the last stains. The consecration recalls God's love in the Incarnation, and the hierarch partakes first and then gives.

Δεῦρο δὴ οὖν, ὦ παῖ καλέ, μετὰ τὰς εἰκόνας ἐν τάξει 1
come indeed then O child good after the images in order
καὶ ἱερῶς ἐπὶ τὴν θεοειδῆ τῶν ἀρχετύπων ἀλήθειαν, ἐκεῖνο
and holily to the godlike of-the archetypes truth that
τοῖς ἔτι τελειουμένοις εἰς ἐναρμόνιον αὐτῶν ψυχαγωγίαν
to-the(-ones) still being-perfected for harmonious their guidance-of-souls
εἰπών, ὡς οὐδὲ τῶν συμβόλων ἡ ποικίλη καὶ ἱερὰ σύνθεσις
having-said that not-even of-the symbols the varied and holy composition
ἀνόητος αὐτοῖς ὑπάρχει, μέχρι τῶν ἐκτὸς φαινομένη
unintelligible to-them is as-far-as the outward(-things) appearing
μόνον. Αἱ μὲν γὰρ ἱερώταται τῶν λογίων ᾠδαὶ καὶ
only the indeed for most-holy of-the oracles songs and
ἀναγνώσεις διδασκαλίαν αὐτοῖς ἐναρέτου ζωῆς ὑφηγοῦνται,
readings teaching to-them of-virtuous life expound
καὶ πρό γε τούτου τὴν παντελῆ τῆς φθοροποιοῦ
and before at-least this the complete of-the corrupting
κακίας ἀποκάθαρσιν· ἡ δὲ θειοτάτη τοῦ ἑνὸς καὶ ταὐτοῦ
evil cleansing the and most-divine of-the one and same

καὶ ἄρτου καὶ ποτηρίου κοινὴ καὶ εἰρηναία μετάδοσις
both bread and cup common and peaceful imparting
ὁμοτροπίαν αὐτοῖς ἔνθεον ὡς ὁμοτρόφοις νομοθετεῖ, καὶ τοῦ
likeness-of-ways for-them inspired as fellow-nourished ordains and of-the
θειοτάτου δείπνου καὶ ἀρχισυμβόλου τῶν τελουμένων
most-divine supper and original-symbol of-the(-things) performed
εἰς μνήμην ἱερὰν ἄγει· καθ' ὃ καὶ αὐτὸς ὁ τῶν
into memory holy brings(-them) according-to which also himself the of-the
συμβόλων δημιουργὸς ἀποκληροῖ δικαιότατα τὸν οὐχ
symbols maker excludes most-justly the(-one) not
ὁσίως αὐτῷ καὶ ὁμοτρόπως τὰ ἱερὰ συνδειπνήσαντα,
holily with-him and like-mindedly the holy(-things) having-supped-with
διδάσκων εὐαγῶς τε ἅμα καὶ θεοπρεπῶς, ὡς ἡ καθ'
teaching piously both at-once and God-befittingly that the according-to
ἕξιν ἀληθὴς ἐπὶ τὰ θεῖα προσέλευσις, τὴν πρὸς τὸ
habit true to the divine(-things) approach the to the
ὅμοιον αὐτῶν κοινωνίαν τοῖς προσιοῦσι χαρίζεται.
like of-them communion to-the(-ones) approaching grants

2 Ταῦτα μὲν οὖν, ὡς ἔφην, ἐπὶ τὰ τῶν ἀδύτων προπύλαια
these-things indeed then as I-said on the of-the sanctuaries forecourts
καλῶς διαγεγραμμένα τοῖς ἀτελέσιν ἔτι πρὸς θεωρίαν
well painted to-the uninitiated still for contemplation
αὐτάρκη καταλείποντες, εἰσέλθωμεν ἀπὸ τῶν αἰτιατῶν
sufficient leaving let-us-enter from the effects
εἰς τὰ αἴτια, κατὰ τὴν ἱερὰν ἡμῶν σύναξιν, καὶ τὴν
into the causes according-to the holy our synaxis and the
εὐπρεπῆ τῶν νοητῶν, Ἰησοῦ φωταγωγοῦντος, ὀψόμεθα
seemly of-the intelligible(-things) Jesus guiding-with-light we-shall-see
θεωρίαν, τὸ μακάριον ἀποστίλβουσαν ἐμφανῶς τῶν
contemplation the blessed shining-forth manifestly of-the
ἀρχετύπων κάλλος. Ἀλλά, ὦ θειοτάτη καὶ ἱερὰ τελετή, τὰ
archetypes beauty but O most-divine and holy rite the

περικείμενά σοι συμβολικῶς ἀμφιέσματα τῶν αἰνιγμάτων
lying-around you symbolically garments of-the riddles
ἀποκαλυψαμένη, τηλαυγῶς ἡμῖν ἀναδείχθητι, καὶ τὰς νοερὰς
having-unveiled far-shiningly to-us be-shown and the intellectual
ἡμῶν ὄψεις ἑνιαίου καὶ ἀπερικαλύπτου φωτὸς ἀποπλήρωσον.
our eyes with-single and unveiled light fill
Δεῖ δὴ οὖν ἡμᾶς ἐντὸς παρεῖναι τῶν πανιέρων, οἶομαι, τὸ 3
must indeed then us within to-be-present of-the all-holy(-things) I-think the
νοητὸν τοῦ πρώτου τῶν ἀγαλμάτων ἀπογυμνώσαντας,
intelligible(-part) of-the first of-the images having-stripped-bare
εἰς τὸ θεοειδὲς αὐτοῦ κάλλος ἐνατενίσαι, καὶ τὸν ἱεράρχην
to the godlike its beauty to-gaze and the hierarch
ἐνθέως ἰδεῖν ἀπὸ τοῦ θείου θυσιαστηρίου μέχρι τῶν
inspiredly to-see from the divine altar to the
ἐσχάτων τοῦ ἱεροῦ μετ' εὐοσμίας ἰόντα, καὶ πάλιν ἐπ'
furthest(-parts) of-the sanctuary with fragrance going and again to
αὐτῷ τελειωτικῶς ἀποκαθιστάμενον. Ἥ τε γὰρ ὑπὲρ
it perfectingly returning the both for above
πάντα θεαρχικὴ μακαριότης, εἰ καὶ ἀγαθότητι θείᾳ πρόεισιν
all thearchic blessedness if even by-goodness divine goes-forth
εἰς τὴν τῶν μετεχόντων αὐτῆς ἱερῶν κοινωνίαν, ἀλλ'
into the of-the(-ones) partaking of-her holy communion yet
οὐκ ἔξω τῆς κατ' οὐσίαν ἀκινήτου στάσεως καὶ
not outside of-the according-to substance unmoved standing and
ἱδρύσεως γίγνεται· καὶ πᾶσι δὲ τοῖς θεοειδέσιν ἀναλόγως
foundation comes and to-all too the godlike proportionately
ἐλλάμπει, περὶ ἑαυτὴν ὄντως οὖσα, καὶ τῆς οἰκείας
shines about herself truly being and from-the own
ὅλως οὐ παρακινουμένη ταυτότητος· ὡσαύτως ἡ θεία
at-all not being-moved identity in-the-same-way the divine
τῆς συνάξεως τελετή, κἄν, ἑνιαίαν καὶ ἁπλῆν ἔχουσα καὶ
of-the synaxis rite even-if single and simple having and

συνεπτυγμένην ἀρχήν, εἰς τὴν ἱερὰν ποικιλίαν τῶν συμβόλων
folded-together source into the holy variety of-the symbols
φιλανθρώπως πληθύνηται, καὶ μέχρι πάσης χωρεῖ τῆς
out-of-love-for-mankind it-is-multiplied and to all advances the
θεαρχικῆς εἰκονογραφίας, ἀλλ' ἑνοειδῶς ἐκ τούτων αὖθις
thearchic image-painting yet uniformly from these again
εἰς τὴν οἰκείαν μονάδα συνάγεται, καὶ ἑνοποιεῖ τοὺς ἐπ'
into the own monad is-gathered and unifies the(-ones) to
αὐτὴν ἱερῶς ἀναγομένους. Κατὰ τὸν αὐτὸν δὴ θεοειδῆ
it holily being-led-up according-to the same indeed godlike
τρόπον ὁ θεῖος ἱεράρχης, εἰ καὶ τὴν ἑνιαίαν αὐτοῦ τῆς
manner the divine hierarch if even the single his of-the
ἱεραρχίας ἐπιστήμην ἀγαθοειδῶς εἰς τοὺς ὑποβεβηκότας
hierarchy knowledge good-formedly to the(-ones) below
κατάγει, τοῖς τῶν ἱερῶν αἰνιγμάτων πλήθεσι χρώμενος·
brings-down the of-the holy riddles multitudes using
ἀλλ' αὖθις, ὡς ἀπόλυτος καὶ τοῖς ἥττοσιν ἀκατάσχετος,
yet again as free and by-the lower(-things) unheld
εἰς τὴν οἰκείαν ἀρχὴν ἀμειώτως ἀποκαθίσταται, καὶ
to the own source undiminished returns and
τὴν εἰς τὸ ἓν ἑαυτοῦ νοερὰν ποιησάμενος εἴσοδον, ὁρᾷ
the into the one of-himself intellectual having-made entry sees
καθαρῶς τοὺς τῶν τελουμένων ἑνοειδεῖς λόγους, τῆς
purely the of-the(-things) performed uniform principles of-the
ἐπὶ τὰ δεύτερα φιλανθρώπου προόδου τὸ πέρας τὴν εἰς
to the second(-things) loving-mankind procession the end the to
τὰ πρῶτα θειοτέραν ἐπιστροφὴν ποιούμενος.
the first(-things) more-divine turning making

4 Ἡ δὲ τῶν ψαλμῶν ἱερολογία συνουσιωμένη πᾶσι σχεδὸν
the and of-the psalms holy-discourse being-joined to-all almost
τοῖς ἱεραρχικοῖς μυστηρίοις, οὐκ ἔμελλεν ἀπηρτίσθαι
the hierarchic mysteries not was-going to-be-separated

τοῦ πάντων ἱεραρχικωτάτου· πᾶσα μὲν γὰρ ἱερὰ καὶ
from-the of-all most-hierarchic all indeed for holy and
ἁγιόγραφος δέλτος, ἢ τὴν ἐκ Θεοῦ τῶν ὄντων γεννητὴν
holy-written tablet either the from God of-the beings begotten
ὕπαρξίν τε καὶ διακόσμησιν, ἢ τὴν νομικὴν ἱεραρχίαν καὶ
existence both and ordering or the legal hierarchy and
πολιτείαν, ἢ τῶν τοῦ θείου λαοῦ κληροδοσιῶν διανεμήσεις
polity or of-the of-the divine people allotments distributions
καὶ κατασχέσεις, ἢ κριτῶν ἱερῶν, ἢ βασιλέων σοφῶν,
and possessions or of-judges holy or of-kings wise
ἢ ἱερέων ἐνθέων σύνεσιν, ἢ παλαιῶν ἀνδρῶν ἐν ποικιλίᾳ
or of-priests inspired understanding or of-ancient men in variety
καὶ πλήθει τῶν ἀνιόντων ἀκατάσειστον ἐν καρτερίᾳ
and multitude of-the(-things) distressing unshaken in endurance
φιλοσοφίαν, ἢ τῶν πρακτέων σοφὰς ὑποθήκας, ἢ θείων
philosophy or of-the(-things) to-be-done wise counsels or of-divine
ἐρώτων ᾄσματα καὶ ἐνθέους εἰκόνας, ἢ τῶν ἐσομένων
yearnings songs and inspired images or of-the(-things) to-be
τὰς ὑποφητικὰς προαναῤῥήσεις, ἢ τὰς ἀνδρικὰς Ἰησοῦ
the prophetic foretellings or the human of-Jesus
θεουργίας, ἢ τὰς τῶν αὐτοῦ μαθητῶν θεοπαραδότους καὶ
divine-works or the of-the his disciples God-given and
θεομιμήτους πολιτείας καὶ ἱερὰς διδασκαλίας, ἢ τὴν κρυφίαν
God-imitating ways-of-life and holy teachings or the hidden
καὶ μυστικὴν ἐποψίαν τοῦ τῶν μαθητῶν ἀγαπητοῦ καὶ
and mystical vision of-the(-one) of-the disciples beloved and
θεσπεσίου, ἢ τὴν ὑπερκόσμιον Ἰησοῦ θεολογίαν τοῖς
divine or the supramundane of-Jesus theology to-the(-ones)
πρὸς θέωσιν ἐπιτηδείοις ὑφηγήσατο, καὶ ταῖς ἱεραῖς τῶν
for deification fit expounded and with-the holy of-the
τελετῶν καὶ θεοειδέσιν ἀναγωγαῖς συνερῥίζωσεν. Ἡ δὲ τῶν
rites and godlike upliftings rooted-together the and of-the

θείων ᾠδῶν ἱερογραφία, σκοπὸν ἔχουσα τὰς θεολογίας
divine songs holy-writing aim having the theologies
τε καὶ θεουργίας ἁπάσας ὑμνῆσαι, καὶ τὰς τῶν θείων
both and divine-works all to-hymn and the of-the divine
ἀνδρῶν ἱερολογίας τε καὶ ἱερουργίας αἰνέσαι, καθολικὴν
men holy-discourses both and sacred-works to-praise universal
ποιεῖται τῶν θείων ᾠδὴν καὶ ἀφήγησιν, πρὸς πάσης
makes of-the divine(-things) song and narration for every
ἱεραρχικῆς τελετῆς ὑποδοχὴν καὶ μετάδοσιν ἕξιν οἰκείαν
hierarchic rite reception and imparting habit fitting
ἐμποιοῦσα τοῖς ἐνθέως αὐτὴν ἱερολογοῦσιν.
producing in-the(-ones) inspiredly it chanting
5 Ὅταν οὖν ἡ περιεκτικὴ τῶν πανιέρων ὑμνολογία τὰς
when then the comprehensive of-the all-holy(-things) hymnody the
ψυχικὰς ἡμῶν ἕξεις ἐναρμονίως διαθῇ πρὸς τὰ μικρὸν
psychic our habits harmoniously disposes toward the(-things) (a)-little
ὕστερον ἱερουργηθησόμενα, καὶ τῇ τῶν θείων ᾠδῶν
later to-be-sacredly-performed and by-the of-the divine songs
ὁμοφωνίᾳ τὴν πρὸς τὰ θεῖα καὶ ἑαυτοὺς καὶ ἀλλήλους
concord-of-voice the toward the divine(-things) and ourselves and one-another
ὁμοφροσύνην, ὡς μιᾷ καὶ ὁμολόγῳ τῶν ἱερῶν χορείᾳ,
like-mindedness as by-one and harmonious of-the holy(-ones) choir
νομοθετήσῃ, τὰ συντετμημένα καὶ συνεσκιασμένα
ordains the(-things) abridged and shadowed
μᾶλλον ἐν τῇ νοερᾷ τῶν ψαλμῶν ἱερολογίᾳ διὰ πλειόνων
rather in the intellectual of-the psalms holy-discourse through more
καὶ σαφεστέρων εἰκόνων καὶ ἀναῤῥήσεων εὐρύνεται ταῖς
and clearer images and proclamations are-broadened by-the
ἱερωτάταις τῶν ἁγιογράφων συντάξεων ἀναγνώσεσιν. Ἐν
most-holy of-the holy-written compositions readings in
ταύταις ὁ βλέπων ἱερῶς ὄψεται τὴν ἑνοειδῆ καὶ
these the(-one) seeing holily will-see the uniform and

μίαν σύμπνοιαν, ὡς ὑφ᾽ ἑνὸς τοῦ θεαρχικοῦ Πνεύματος
one accord as by one the thearchic Spirit
κεκινημένην· ὅθεν εἰκότως ἐν κόσμῳ μετὰ τὴν ἀρχαιοτέραν
moved whence fittingly in order after the older
παράδοσιν ἡ καινὴ Διαθήκη κηρύσσεται, τῆς ἐνθέου καὶ
tradition the new Covenant is-proclaimed the inspired and
ἱεραρχικῆς τάξεως ἐκεῖνο, οἶμαι, δηλούσης, ὡς ἡ μὲν
hierarchic order that I-think showing that the(-one) indeed
ἔφη τὰς ἐσομένας Ἰησοῦ θεουργίας, ἡ δὲ ἐτέλεσε,
told the future of-Jesus divine-works the(-one) and accomplished(-them)
καὶ ὡς ἐκείνη μὲν ἐν εἰκόσι τὴν ἀλήθειαν ἔγραψεν, αὕτη
and that that(-one) indeed in images the truth wrote this(-one)
δὲ παροῦσαν ὑπέδειξε· τῶν γὰρ ἐκείνης προαναῤῥήσεων
and present showed of-the for that(-one's) foretellings
ἡ κατὰ ταύτην τελεσιουργία τὴν ἀλήθειαν ἐπιστώσατο,
the according-to this(-one) accomplishment the truth confirmed
καὶ ἔστι τῆς θεολογίας ἡ θεουργία συγκεφαλαίωσις.
and is of-the theology the divine-work summation

Τούτων οἱ μὲν ἀπερισάλπιγκτοι καθόλου τῶν ἱερῶν 6
of-these the(-ones) indeed unsummoned at-all to-the holy
τελετῶν οὐδὲ τὰς εἰκόνας ὁρῶσιν, ἀναιδῶς ἀπειπάμενοι
rites not-even the images see shamelessly having-renounced
τὴν σωτηριώδη τῆς θεογενεσίας μύησιν, καὶ τοῖς λογίοις
the saving of-the divine-birth initiation and to-the oracles
ὀλεθρίως ἀντιφθεγξάμενοι τό· Ὁδούς σου εἰδέναι οὐ
ruinously having-replied the(-saying) ways your to-know not
βούλομαι. Τοὺς δὲ κατηχουμένους, ἐνεργουμένους τε, καὶ
I-wish the and catechumens possessed both and
τοὺς ἐν μετανοίᾳ ὄντας, ὁ τῆς ἁγίας ἱεραρχίας θεσμὸς
the(-ones) in penance being the of-the holy hierarchy ordinance
ἐφίησι μὲν ἐπακοῦσαι τῆς ψαλμικῆς ἱερολογίας, καὶ τῆς
permits indeed to-hear the psalmic holy-discourse and the

ἐνθέου τῶν πανιέρων Γραφῶν ἀναγνώσεως· εἰς δὲ τὰς
inspired of-the all-holy Scriptures reading to but the
ἑξῆς ἱερουργίας καὶ θεωρίας οὐ συγκαλεῖται τούτους,
following sacred-works and contemplations not calls these
ἀλλὰ τοὺς τελείους τῶν τελεσιουργῶν ὀφθαλμούς. Ἔστι
but the perfect of-the perfecters eyes is
γὰρ ἡ θεοειδὴς ἱεραρχία δικαιοσύνης ἱερᾶς ἀνάπλεως, καὶ
for the godlike hierarchy of-justice holy full and
τὸ κατ᾽ ἀξίαν ἑκάστῳ σωτηρίως ἀπονέμει τὴν
the(-thing) according-to worth to-each savingly distributes the
ἐναρμόνιον ἑκάστου τῶν θείων μέθεξιν ἐν συμμετρίᾳ
harmonious each's of-the divine(-things) participation in due-measure
καὶ ἀναλογίᾳ κατὰ καιρὸν ἱερῶς δωρουμένη. Ἡ
and proportion at (the)-right-time holily bestowing the
μὲν οὖν ἐσχάτη τοῖς κατηχουμένοις ἀπονενέμηται τάξις·
indeed then last to-the catechumens has-been-assigned rank
εἰσὶ γὰρ ἀμέθεκτοι καὶ ἀμύητοι παντὸς ἱεραρχικοῦ
they-are for without-share and uninitiated in-every hierarchic
τελεστηρίου, μηδὲ τὴν κατὰ θείαν ἀπότεξιν ἔνθεον
rite not-even the according-to divine birth inspired
ἐσχηκότες ὕπαρξιν, ἀλλ᾽ ἔτι πρὸς τῶν πατρικῶν λογίων
having-had existence but still by the fatherly oracles
μαιευόμενοι, καὶ ζωοποιοῖς μορφώμασι διαπλαττόμενοι
being-midwifed and by-life-giving shapings being-formed
πρὸς τὴν ἐκ θεογενεσίας ἀρχίζωον καὶ ἀρχίφωτον καὶ
toward the from divine-birth first-living and first-shining and
μακαρίαν προσαγωγήν. Ὥσπερ οὖν, εἰ ἀτέλεστα καὶ
blessed bringing-forward just-as then if unfinished and
ἀμόρφωτα προεκπέσοι τὰ κατὰ σάρκα βρέφη τῆς
unformed should-fall-out-early the according-to flesh infants before-the
οἰκείας μαιεύσεως, ὡς ἀμβλωθρίδια καὶ ἐκτρώματα, τὴν
proper delivery as miscarriages and abortions the

ἀγέννητον καὶ ἄζωον καὶ ἀφώτιστον ἐπὶ γῆς ἀπόπτωσιν
unborn and lifeless and unenlightened on earth falling
ἕξει, καὶ οὐκ ἄν τις εὐφρονῶν εἴποι, πρὸς τὸ
will-have and not — anyone sensible would-say by the(-thing)
φαινόμενον ἀποσκοπῶν, ἐπὶ τὸ φῶς αὐτὰ προαχθῆναι,
appearing looking to the light them to-have-been-brought-forth
τοῦ κατὰ γαστέρα σκότους ἀπαλλαγέντα· (φαίη γὰρ
from-the in womb darkness having-been-freed would-say for
ἂν ἡ τῶν σωμάτων ἐπιστημονικὴ προστάτις ἰατρική, τὸ
— the of-the bodies knowing guardian medicine the
φῶς ἐνεργεῖν εἰς τὰ δεκτικὰ τοῦ φωτός·) οὕτω καὶ
light to-act on the(-things) receptive of-the light thus also
τῶν ἱερῶν ἡ πάνσοφος ἐπιστήμη πρῶτα μὲν αὐτοὺς
of-the holy(-things) the all-wise knowledge first indeed them
τῇ τῶν μορφωτικῶν καὶ ζωοποιῶν λογίων εἰσαγωγικῇ
by-the of-the forming and life-giving oracles introductory
τροφῇ μαιεύεται, τελεσφορήσασα δὲ τὴν πρὸς θεογενεσίαν
nourishment midwifes having-brought-to-term and the for divine-birth
αὐτῶν ὑπόστασιν, ἐνδίδωσι σωτηρίως αὐτοῖς ἐν τάξει τὴν
their existence grants savingly to-them in order the
πρὸς τὰ φωτοειδῆ καὶ τελεσιουργικὰ κοινωνίαν· νῦν δὲ ὡς
with the light-formed and perfecting(-things) communion now but as
ἀτελέστων ἀποδιαστέλλει τὰ τέλεια, τῆς τε εὐκοσμίας
from-uninitiated separates the perfect(-things) for-the both good-order
τῶν ἱερῶν προμηθουμένη, καὶ τῆς τῶν κατηχουμένων
of-the holy(-things) taking-forethought and of-the of-the catechumens
ἐν θεοειδεῖ τῶν ἱεραρχικῶν τάξει μαιεύσεως καὶ ζωῆς.
in godlike of-the hierarchic order delivery and life
Ἡ δὲ τῶν ἐνεργουμένων πληθὺς ἀνίερον μὲν καὶ αὕτη, 7
the and of-the possessed multitude unholy(-thing) indeed also this
δευτέρα δὲ πρὸς τὸ ἄνω τῆς τῶν κατηχουμένων ἐστὶν
second but toward the above of-the of-the catechumens is

ἐσχατιᾶς. Οὐδὲ γὰρ ἴσον, ὡς οἶμαι, τοῦ παντελῶς
lowest-place not for equal as I-think to-the(-one) wholly
ἀμυήτου καὶ τῶν θείων τελετῶν ἄκρως ἀκοινωνήτου τὸ
uninitiated and in-the divine rites utterly without-share the(-one)
μετουσίαν τινὰ τῶν ἱερωτάτων ἐσχηκὸς τελεστηρίων, ἔτι
participation some in-the most-holy having-had rites still
δὲ ταῖς ἐναντίαις ἢ θέλξεσιν ἢ ταραχαῖς ἐνεσχημένον,
and in-the contrary either enchantments or disturbances entangled
ἀλλὰ καὶ πρὸς αὐτοὺς ἡ τῶν πανιέρων θέα καὶ κοινωνία
but also for them the of-the all-holy(-things) sight and communion
συστέλλεται, καὶ μάλα γε εἰκότως. Εἰ γάρ ἐστιν ἀληθές,
is-withheld and very at-least fittingly if for it-is true
ὡς ὁ καθόλου θεῖος ἀνήρ, ὁ τῶν θείων ἄξιος
that the wholly divine man the(-one) of-the divine(-things) worthy
κοινωνός, ὁ πρὸς τὸ τοῦ κατ᾽ αὐτὸν θεοειδοῦς
sharer the(-one) to the of-the according-to him godlike
ἄκρον ἐν παντελέσι καὶ τελειωτικαῖς θεώσεσιν ἀνηγμένος,
summit in complete and perfecting deifications led-up
οὐδὲ τὰ σαρκὸς ἐνεργήσει παρὰ τὴν κατὰ φύσιν
not-even the(-things) of-flesh will-do beyond the according-to nature
ἀναγκαιότητα, καὶ τοῦτο εἰ τύχοι παρέργως, ναὸς δὲ
necessity and this if it-should-chance incidentally temple and
ἅμα καὶ ὀπαδὸς ἐν τῇ κατ᾽ αὐτὸν ἀκροτάτῃ θεώσει
at-once and follower in the according-to him highest deification
τοῦ θεαρχικοῦ Πνεύματος ἔσται, τῷ ὁμοίῳ τὸ ὅμοιον
of-the thearchic Spirit will-be in-the like the like
ἐνιδρύων· οὐκ ἂν ὁ τοιοῦτός ποτε πρὸς τῶν ἐναντίων
establishing not — the such(-one) ever by the contrary
ἐνεργηθείη φαντασιῶν ἢ δειμάτων, γελάσεται δὲ αὐτά,
would-be-possessed imaginations or terrors he-will-laugh-at but them
καὶ προσιόντα καταπαλαίσει, καὶ ἐκδιώξεται, καὶ δράσει
and approaching will-overthrow and will-drive-out and will-act

μᾶλλον ἢ πείσεται, καὶ πρὸς τῷ τῆς οἰκείας ἕξεως
rather than be-acted-upon and besides the of-the own habit
ἀπαθεῖ καὶ ἀνενδότῳ καὶ ἑτέροις ἰατρὸς ὀφθήσεται τῶν
impassible(-state) and unyielding also to-others physician will-appear of-the
τοιούτων ἐνεργημάτων. Οἶμαι δὲ ἐγὼ πρὸς τούτῳ, μᾶλλον
such possessions think and I besides this rather
δὲ οἶδα σαφῶς, ὡς ἡ τῶν ἱεραρχικῶν ἀμιγεστάτη διάκρισις
but know clearly that the of-the hierarchic(-ones) most-unmixed discernment
πρὸ τούτων οἶδεν ἐνεργουμένους ἐναγεστάτην ἐνέργειαν,
before these knows(-as) possessed most-accursed possession
ὅσοι, τῆς θεοειδοῦς ἀποστάντες ζωῆς, ὁμόφρονές τε
as-many-as from-the godlike having-departed life like-minded both
καὶ ὁμότροποι τοῖς ὀλεθρίοις γίγνονται δαίμοσι, τὰ
and like-mannered with-the destructive become demons the(-things)
μὲν ὄντως ὄντα, καὶ ἀθανάτως κτητά, καὶ αἰωνίως
indeed truly being and immortally possessable and eternally
ἡδέα, δι᾽ ἐσχάτην καὶ ἑαυτοῖς ὀλέθριον ἀνοησίαν
sweet because-of utmost and to-themselves destructive folly
ἀποστρεφόμενοι· τὴν πρόσυλον δὲ καὶ πολυπαθεστάτην
turning-from the material but and most-passionate
ἀλλοίωσιν, καὶ τὰς ὀλλυμένας καὶ φθοροποιοὺς ἡδονάς, καὶ
alteration and the perishing and corrupting pleasures and
τὴν ἀβέβαιον ἐν τοῖς ἀλλοτρίοις οὐκ οὖσαν, ἀλλὰ δοκοῦσαν
the unstable in the alien(-things) not being but seeming
εὐπάθειαν ἐπιθυμοῦντες καὶ ἐνεργοῦντες. Οἱ πρῶτοι δ᾽
well-being desiring and effecting the first and
οὖν οὗτοι καὶ κυριώτερον ἐκείνων ὑπὸ τῆς τοῦ λειτουργοῦ
then these and more-properly than-those by the of-the minister
διακριτικῆς φωνῆς ἀφοριζέσθωσαν· οὐ γὰρ θεμιτὸν αὐτοῖς
discerning voice let-them-be-separated not for (is)-lawful for-them
ἑτέρου τινὸς ἱεροῦ μετασχεῖν, ἢ τῆς τῶν λογίων
other any holy(-thing) to-partake than the of-the oracles

ἐπιστρεπτικῆς ἐπὶ τὰ κρείττω διδασκαλίας. Εἰ γὰρ ἡ τῶν
turning to the better(-things) teaching if for the of-the
θείων ὑπερκόσμιος ἱερουργία καὶ τοὺς ἐν μετανοίᾳ,
divine(-things) supramundane sacred-work even the(-ones) in penance
καὶ τοὺς πρὸς αὐτὴν ἤδη γεγονότας, ἀποκρύπτεται,
and the(-ones) to it already having-come hides-from
τὸ μὴ παντελῶς ἱερώτατον οὐ προσιεμένη· προσφωνεῖ
the(-one) not wholly most-holy not admitting calls-out
δὲ καὶ τοῦτο πανάγνως, ὅτι Καὶ τοῖς κατά τι
and also this all-purely that even to-the(-ones) in any(-way)
πρὸς τὸ τοῦ θεοειδοῦς ἄκρον ἀτελῶς ἐξασθενοῦσιν ἀθέατός
toward the of-the godlike summit imperfectly falling-short unseen
εἰμι καὶ ἀκοινώνητος (ἀποσοβεῖ γὰρ ἡ κατὰ πᾶν
I-am and unshared drives-away for the in every(-way)
ἀμιγεστάτη φωνὴ καὶ τοὺς μὴ δυναμένους συνδεθῆναι τοῖς
most-unmixed voice even the(-ones) not able to-be-joined to-the
τῶν θειοτάτων ἀξίως κοινωνοῖς), πολλῷ γε μᾶλλον ἡ
of-the most-divine(-things) worthily sharers much at-least more the
τῶν ἐμπαθῶς ἐνεργουμένων πληθὺς ἀνίερος ἔσται καὶ
of-the(-ones) passionately possessed multitude unholy will-be and
πάσης ἀλλοτρία τῆς τῶν ἱερῶν ἐποψίας καὶ κοινωνίας.
from-all alien the of-the holy(-things) vision and communion
Ἐπειδὴ τοῦ θείου γεγόνασιν ἔξω ναοῦ καὶ τῆς ὑπερκειμένης
since of-the divine have-come outside temple and of-the overlying
αὐτοὺς ἱερουργίας οἱ τῶν τελετῶν ἀμύητοι καὶ ἀτέλεστοι,
them sacred-work the(-ones) of-the rites uninitiated and unperfected
καὶ πρὸς αὐτοῖς οἱ τῆς ἱερᾶς ἀποστάται ζωῆς, ἑπομένως
and besides them the of-the holy apostates life next
τε τούτοις οἱ πρὸς τὰ τῶν ἐναντίων δείματά τε καὶ
and to-these the(-ones) toward the of-the contrary(-powers) terrors both and
φάσματα δι' ἀνανδρίαν εὐπαθεῖς, ὡς οὐκ ἀφικόμενοι διὰ
phantoms because-of unmanliness susceptible as not having-arrived through

τῆς πρὸς τὰ θεῖα συντόνου καὶ ἀνενδότου συννεύσεως
the toward the divine(-things) intense and unyielding convergence
ἐπὶ τὸ τῆς θεοειδοῦς ἕξεως ἀκίνητον καὶ δραστήριον·
to the of-the godlike habit unmoved(-state) and active
εἶτα πρὸς αὐτοῖς οἱ τῆς ἐναντίας μὲν ἀποστάντες
then besides them the(-ones) from-the contrary indeed having-departed
ζωῆς, οὔπω δὲ καὶ τῶν φαντασιῶν αὐτῆς ἕξει καὶ
life not-yet but also of-the imaginations its by-habit and
ἔρωτι θείῳ καὶ ἀμιγεῖ καθαρθέντες, καὶ μετ᾽ αὐτοὺς οἱ
yearning divine and unmixed cleansed and after them the(-ones)
μὴ καθάπαξ ἑνοειδεῖς, καί, νομικῶς εἰπεῖν, ἄμωμοι καὶ
not altogether uniform and legally to-say blameless and
ἀλώβητοι παντελῶς. Οἱ πανίεροι τῶν πανιέρων ἱερουργοὶ
unblemished completely the all-holy of-the all-holy(-things) sacred-workers
καὶ φιλοθεάμονες, τὴν ἁγιωτάτην τελετὴν ἁγιοπρεπῶς
and lovers-of-sights the most-holy rite holy-befittingly
ἐποπτεύοντες, ὑμνοῦσιν ὑμνολογίᾳ καθολικῇ τὴν ἀγαθουργὸν
beholding hymn with-hymnody universal the beneficent
καὶ ἀγαθοδότιν ἀρχήν, ὑφ᾽ ἧς αἱ σωτηριώδεις ἡμῖν
and good-giving source by which the saving to-us
ἀνεδείχθησαν τελεταί, τὴν ἱερὰν τῶν τελουμένων
were-shown rites the holy of-the(-ones) being-initiated
θέωσιν ἱερουργοῦσαι. Τὸν ὕμνον δὲ τοῦτον οἱ μὲν
deification sacredly-effecting the hymn and this some indeed
ὑμνολογίαν καλοῦσιν, οἱ δὲ τῆς θρησκείας τὸ σύμβολον,
hymnody call others and of-the worship the symbol
ἄλλοι δέ, ὡς οἶμαι, θειότερον ἱεραρχικὴν εὐχαριστίαν, ὡς
others and as I-think more-divinely hierarchic thanksgiving as
περιεκτικὴν τῶν εἰς ἡμᾶς θεόθεν ἀφικομένων ἱερῶν δώρων·
comprehensive of-the to us from-God arriving holy gifts
δοκεῖ γάρ μοι τῶν ὑμνουμένων ἁπασῶν θεουργιῶν ἡ
seems for to-me of-the hymned all divine-works the

πραγματεία περὶ ἡμᾶς γεγονέναι, τὴν μὲν οὐσίαν ἡμῶν
operation about us to-have-taken-place the indeed substance our
καὶ ζωὴν ἀγαθοειδῶς ὑποστήσασα, καὶ ἀρχετύποις κάλλεσι
and life good-formedly having-established and with-archetypal beauties
τὸ θεοειδὲς ἡμῶν μορφώσασα, καὶ θειοτέρας ἕξεως καὶ
the godlike(-part) our having-shaped and of-more-divine habit and
ἀναγωγῆς ἐν μετουσίᾳ καταστήσασα, κατιδοῦσα δὲ τὴν
uplifting in participation having-set(-us) having-seen and the
ἐξ ἀπροσεξίας ἐγγενομένην ἡμῖν ἐρημίαν τῶν θείων
from heedlessness arisen-in us deprivation of-the divine
δωρεῶν, ἐπισκευαστοῖς ἡμᾶς ἀγαθοῖς εἰς τὸ ἀρχαῖον
gifts with-restoring us goods to the original(-state)
ἀνακαλέσασθαι, καὶ τῇ παντελεῖ τῶν ἡμετέρων προσλήψει
to-recall and by-the complete of-the our(-things) assumption
τὴν τελειοτάτην τῶν οἰκείων μετάδοσιν ἀγαθουργῆσαι, καὶ
the most-perfect of-the own(-things) imparting to-work-good and
ταύτῃ κοινωνίαν ἡμῖν Θεοῦ καὶ τῶν θείων δωρήσασθαι.
in-this-way communion to-us of-God and of-the divine(-things) to-bestow
8 Οὕτω δὲ τῆς θεαρχικῆς φιλανθρωπίας ἱερῶς ὑμνηθείσης,
thus and the thearchic love-for-mankind holily having-been-hymned
ἐγκεκαλυμμένος μὲν ὁ θεῖος ἄρτος προτίθεται καὶ
veiled indeed the divine bread is-set-forth and
τὸ τῆς εὐλογίας ποτήριον· ὁ δὲ θειότατος ἀσπασμὸς
the of-the blessing cup the and most-divine kiss
ἱερουργεῖται, καὶ τῶν ἁγιογράφων πτυχῶν ἡ μυστικὴ
is-sacredly-performed and of-the holy-written tablets the mystical
καὶ ὑπερκόσμιος ἀνάῤῥησις. Οὐ γὰρ ἔνεστι πρὸς τὸ ἓν
and supramundane proclamation not for it-is-possible toward the one
συνάγεσθαι καὶ τῆς τοῦ ἑνὸς μετέχειν εἰρηναίας ἑνώσεως
to-be-gathered and of-the of-the one to-partake peaceful union
τοὺς πρὸς ἑαυτοὺς διῃρημένους. Εἰ γὰρ ὑπὸ τῆς τοῦ
the(-ones) among themselves divided if for by the of-the

ἑνὸς θεωρίας καὶ γνώσεως ἐλλαμπόμενοι, πρὸς τὴν
one contemplation and knowledge being-illumined toward the
ἑνοειδῆ καὶ θείαν συναγωγὴν ἑνοποιηθῶμεν, οὐκ ἂν ἐπὶ
uniform and divine gathering we-should-be-unified not — to
τὰς μεριστὰς ἀνασχοίμεθα καταπίπτειν ἐπιθυμίας, ἐξ ὧν
the divided we-would-endure to-fall desires from which
αἱ πρόσυλοι δημιουργοῦνται καὶ ἐμπαθεῖς πρὸς τὸ
the material are-made and passionate toward the(-one)
κατὰ φύσιν ὁμοειδεῖς ἀπέχθειαι. Ταύτην οὖν, ὡς οἶμαι,
according-to nature of-like-form enmities this then as I-think
τὴν ἑνοειδῆ καὶ ἀδιαίρετον ζωὴν ἡ τῆς εἰρήνης ἱερουργία
the uniform and undivided life the of-the peace sacred-work
νομοθετεῖ, τῷ ὁμοίῳ τὸ ὅμοιον ἐνιδρύουσα, καὶ τῶν
ordains in-the like the like establishing and from-the
μεριστῶν ἀποδιαστέλλουσα τὰ θεῖα καὶ ἑνιαῖα θεάματα.
divided(-things) separating the divine and single sights
Τῶν δὲ ἱερῶν πτυχῶν ἡ μετὰ τὴν εἰρήνην ἀνάῤῥησις 9
of-the and holy tablets the after the peace proclamation
ἀνακηρύττει τοὺς ὁσίως βεβιωκότας, καὶ πρὸς ἐναρέτου
proclaims the(-ones) holily having-lived and to of-virtuous
ζωῆς τελείωσιν ἀμεταστάτως ἀφικομένους· ἡμᾶς μὲν ἐπὶ
life perfection unwaveringly having-arrived us indeed to
τὴν δι' ὁμοιότητος αὐτῶν μακαριστὴν ἕξιν καὶ θεοειδῆ
the through likeness their blessed habit and godlike
λῆξιν προτρέπουσα καὶ χειραγωγοῦσα, τοὺς δὲ ὡς ζῶντας
allotment urging and hand-leading them and as living
ἀνακηρύττουσα, καὶ ὡς ἡ θεολογία φησίν, οὐ νεκρωθέντας,
proclaiming and as the theology says not having-died
ἀλλὰ εἰς θειοτάτην ζωὴν ἐκ θανάτου μεταφοιτήσαντας.
but into most-divine life from death having-passed
Σκόπει δέ, ὅτι καὶ μνημοσύνοις ἱεροῖς ἀνατίθενται, τῆς θείας
observe and that also in-memorials holy they-are-dedicated the divine

μνήμης οὐκ ἀνθρωπικῶς ἐν τῇ τοῦ μνημονικοῦ φαντασίᾳ
memory not humanly in the of-the remembering(-faculty) imagination
δηλουμένης, ἀλλ᾽ ὡς ἄν τις φαίη θεοπρεπῶς, κατὰ τὴν
being-shown but as — one might-say God-befittingly according-to the
ἐν Θεῷ τῶν τετελεσμένων θεοειδῶν τιμίαν καὶ ἀμετάστατον
in God of-the perfected godlike(-ones) precious and unchanging
γνῶσιν. Ἔγνω γὰρ (ἔφη τὰ λόγια) τοὺς ὄντας αὐτοῦ·
knowledge knew for said the oracles the(-ones) being his
καί, Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ,
and precious before (the)-Lord the death of-the holy(-ones) his
τοῦ θανάτου τῶν ὁσίων ἀντὶ τῆς ἐν ὁσιότητι τελειώσεως
the death of-the holy(-ones) instead-of the in holiness perfection
εἰρημένου. Καὶ τοῦτο δὲ ἱερῶς ἐννόησον, ὡς, ἐπιτεθέντων
having-been-said and this too holily consider that having-been-laid
τῷ θείῳ θυσιαστηρίῳ τῶν σεβασμίων συμβόλων, δι᾽ ὧν
on-the divine altar the venerable symbols through which
ὁ Χριστὸς σημαίνεται καὶ μετέχεται, πάρεστιν ἀδιαστάτως
— Christ is-signified and is-partaken is-present inseparably
ἡ τῶν ἁγίων ἀπογραφή, τὸ συνεζευγμένον αὐτῶν ἀδιαιρέτως
the of-the saints roll the joined their indivisibly
ἐμφαίνουσα τῆς πρὸς αὐτὸν ὑπερκοσμίου καὶ ἱερᾶς ἑνώσεως.
showing of-the with him supramundane and holy union
10 Τούτων δὲ καθ᾽ ὃν εἴρηται θεσμὸν ἱερουργηθέντων,
these and according-to which has-been-said ordinance having-been-performed
ἑστὼς ἐπίπροσθεν τῶν ἁγιωτάτων συμβόλων ὕδατι τὰς
standing in-front-of the most-holy symbols with-water the
χεῖρας ὁ ἱεράρχης νίπτεται μετὰ τοῦ σεμνοῦ τῶν ἱερέων
hands the hierarch washes with the revered of-the priests
τάγματος. Ὅτι μὲν οὖν, ὡς τὰ λόγιά φησιν, ὁ
order that indeed then as the oracles say the(-one)
λελουμένος οὐ δεῖταί τινος ἑτέρας εἰ μὴ τῆς τῶν ἄκρων,
washed not needs any other except — the of-the extremities

εἴτουν ἐσχάτων ἑαυτοῦ νίψεως, δι᾽ ἧς ἀκροτάτης
that-is last(-parts) of-himself washing through which highest
καθάρσεως, ἐν πανάγνῳ τοῦ θεοειδοῦς ἕξει. καὶ πρὸς τὰ
purification in all-pure of-the godlike habit and to the
δεύτερα προϊὼν ἀγαθοειδῶς, ἄσχετος ἔσται καὶ ἀπόλυτος,
second(-things) going-forth good-formedly unrelated he-will-be and free
ὡς καθάπαξ ἑνοειδής, καὶ πρὸς τὸ ἓν αὖθις ἑνιαίως
as altogether uniform and to the one again uniformly
ἐπιστρεφόμενος, ἄχραντον ποιήσεται καὶ ἀκηλίδωτον τὴν
turning undefiled will-make and spotless the
ἐπιστροφήν, ὡς τοῦ θεοειδοῦς ἀποσώζων τὸ πλῆρες καὶ
turning as of-the godlike preserving the full(-state) and
ὁλόκληρον. Ὁ μὲν ἱερὸς λουτήρ, ὡς εἰρήκαμεν, ἐν τῇ
entire the indeed holy laver as we-have-said in the
κατὰ νόμον ἦν ἱεραρχίᾳ· νῦν δὲ τοῦ ἱεράρχου καὶ τῶν
according-to law was hierarchy now but of-the hierarch and of-the
ἱερέων ἡ τῶν χειρῶν ἀποκάθαρσις αὐτὸν ὑπαινίσσεται.
priests the of-the hands cleansing it hints-at
Τοὺς γὰρ ἐπὶ τὴν παναγεστάτην ἰόντας ἱερουργίαν
the(-ones) for to the all-holiest going sacred-work
ἀποκεκαθάρθαι δεῖ καὶ τὰς ἐσχάτας τῆς ψυχῆς φαντασίας,
to-have-been-cleansed-of must even the last of-the soul imaginations
καὶ δι᾽ ὁμοιότητος αὐτῇ κατὰ τὸ δυνατὸν προσιέναι·
and through likeness to-it according-to the possible to-approach
φανοτέρας γὰρ οὕτω τὰς θεοφανείας περιαυγασθήσονται
more-luminous for thus the theophanies they-will-be-shone-around(-with)
τῶν ὑπερκοσμίων μαρμαρυγῶν εἰς τὴν τῶν ὁμοιοειδῶν,
of-the supramundane radiances into the of-the like-formed
ἐσόπτρων ἀγλαΐαν ὁλικώτερον καὶ διαυγέστερον ἐφιέντων
mirrors splendor more-wholly and more-transparently allowing
διεῖναι τὴν οἰκείαν αἴγλην. Ἡ δὲ τοῦ ἱεράρχου καὶ τῶν
to-pass-through the own gleam the and of-the hierarch and of-the

ἱερέων ἄχρι τῶν ἄκρων εἴτουν ἐσχάτων ἀπόνιψις ἐπίπροσθεν
priests to the extremities that-is last(-parts) washing in-front-of
γίγνεται τῶν ἁγιωτάτων συμβόλων, ὡς ἐπὶ Χριστοῦ τοῦ
takes-place the most-holy symbols as before Christ the(-one)
πάσας ἐφορῶντος ἡμῶν τὰς κρυφιωτάτας ἐννοίας, καὶ
all overseeing our the most-hidden thoughts and
τῆς ἀκροτάτης καθάρσεως ἐν τοῖς αὐτοῦ πανεπισκόποις
the highest purification in the his all-surveying
ἀκριβασμοῖς, καὶ ταῖς δικαιοτάταις καὶ ἀδεκάστοις κρίσεσιν
scrutinies and the most-just and impartial judgments
ὁριζομένης· οὕτω τοῖς θείοις ὁ ἱεράρχης ἑνοῦται, καὶ
being-defined thus with-the divine(-things) the hierarch is-united and
τὰς ἱερὰς θεουργίας ὑμνήσας, ἱερουργεῖ τὰ θειότατα,
the holy divine-works having-hymned sacredly-performs the most-divine(-things)
καὶ ὑπ᾽ ὄψιν ἄγει τὰ ὑμνημένα.
and under sight brings the(-things) hymned

11 Τίνας μὲν εἶναι τὰς εἰς ἡμᾶς θεουργίας φαμέν, ἑξῆς
what indeed to-be the to us divine-works we-say next
ἀφηγητέον ὅση δύναμις· οὐ γὰρ ἁπάσας ὑμνεῖν ἱκανὸς
(one)-must-relate as-much-as (is)-my-power not for all to-hymn able
ἐγώ, μή τί γε σαφῶς εἰδέναι καὶ ἑτέρους μυσταγωγεῖν·
I(-am) let alone — clearly to-know and others to-initiate
ὅσα δὲ πρὸς τῶν ἐνθέων ἱεραρχῶν ἀκολούθως τοῖς
as-many-as but by the inspired hierarchs in-accord-with the
λογίοις ὑμνεῖται καὶ ἱερουργεῖται, ταῦτα, ὡς ἡμῖν ἐφικτόν,
oracles are-hymned and sacredly-performed these as to-us (is)-attainable
ἐροῦμεν, τὴν ἱεραρχικὴν ἐπίπνοιαν ἀρωγὸν ἐπικαλεσάμενοι.
we-shall-say the hierarchic inspiration (as)-helper having-called-upon
Τὴν ἀνθρωπείαν φύσιν, ἀρχῆθεν ἀπὸ τῶν θείων ἀγαθῶν
the human nature from-the-beginning from the divine goods
ἀνοήτως ἐξολισθήσασαν, ἡ πολυπαθεστάτη ζωὴ διαδέχεται,
foolishly having-slipped-away the most-passionate life receives

καὶ τὸ τοῦ φθοροποιοῦ θανάτου πέρας· ἀκολούθως γὰρ ἡ
and the of-the corrupting death end consequently for the
τῆς ὄντως ἀγαθότητος ὀλέθριος ἀποστασία, καὶ τῆς ἱερᾶς
of-the truly goodness destructive apostasy and of-the holy
ἐν παραδείσῳ θεσμοθεσίας ὑπερβασία, τὸν ἐξοιστρήσαντα
in paradise ordinance transgression the(-one) having-broken-loose
τοῦ ζωοποιοῦ ζυγοῦ, ταῖς οἰκείαις ῥοπαῖς καὶ θελκτικαῖς
from-the life-giving yoke to-the own inclinations and enchanting
τοῦ ἐναντίου καὶ δυσμενέσιν ἀπάταις, τοῖς ἐναντίοις τῶν
of-the adversary and hostile deceits to-the contrary(-things) of-the
θείων ἀγαθῶν παραδέδωκεν, ἔνθεν ἐλεεινῶς ἀντὶ μὲν
divine goods has-handed-over whence pitiably instead-of indeed
αἰωνίου τὸ θνητὸν ἀντηλλάξατο· τὴν δὲ οἰκείαν ἀρχὴν
eternal the mortal exchanged the and own beginning
ἐν φθαρτικαῖς ἐσχηκυῖα γενέσεσιν ἐπὶ τὸ τῆς ἀρχῆς
in corrupting having-had generations to the of-the beginning
κατάλληλον εἰκότως ἦγε τὸ πέρας· ἀλλὰ καὶ τῆς θείας
corresponding fittingly brought the end but also from-the divine
καὶ ἀναγώγου ζωῆς ἐθελουσίως ἀποπεσοῦσα, πρὸς τὴν
and uplifting life willingly having-fallen to the
ἐναντίαν ἐσχατιὰν ἠνέχθη, τὴν πολυπαθεστάτην ἀλλοίωσιν.
contrary extreme was-carried the most-passionate alteration
Πλανωμένη δὲ καὶ τῆς εὐθείας ὁδοῦ τῆς ἐπὶ τὸν ὄντως
wandering and also from-the straight road the to the truly
ὄντα Θεὸν ἐκτετραμμένη, καὶ ταῖς ὀλεθρίαις καὶ κακεργέτισιν
being God turned-aside and to-the destructive and evil-working
ὑποταττομένη πληθύσιν, ἐλάνθανεν οὐ θεοὺς οὐδὲ φίλους,
being-subjected multitudes was-unaware not gods nor friends
ἀλλὰ δυσμενεῖς θεραπεύουσα· τῶν δὲ ἀφειδῶς αὐτῇ κατὰ
but enemies serving them and unsparingly her according-to
τὸ οἰκεῖον ἀνηλεὲς ἀποκεχρημένων, εἰς ἀνυπαρξίας οἰκτρῶς
the own pitilessness having-misused into of-annihilation piteously

ἐμπεπτώκει καὶ ἀπωλείας κίνδυνον. Ἡ δὲ τῆς θεαρχικῆς
had-fallen and of-destruction danger the but of-the thearchic
ἀγαθότητος ἀπειροτάτη φιλανθρωπία καὶ τὴν αὐτουργὸν
goodness most-infinite love-for-mankind even the self-working
ἡμῶν ἀγαθοπρεπῶς οὐκ ἀπηνήνατο πρόνοιαν, ἀλλὰ ἐν
for-us good-befittingly not refused providence but in
ἀληθεῖ μεθέξει τῶν καθ' ἡμᾶς γενομένη πάντων
true participation of-the(-things) according-to us having-come all
ἀναμαρτήτως, καὶ πρὸς τὸ ταπεινὸν ἡμῶν ἑνοποιηθεῖσα,
sinlessly and with the lowliness our having-been-unified
μετὰ τῆς τῶν οἰκείων ἀσυγχύτου καὶ ἀλωβήτου παντελῶς
with the of-the own(-things) unconfused and unblemished completely
ἕξεως, τὴν πρὸς αὐτὴν ἡμῖν κοινωνίαν ὡς ὁμογενέσι λοιπὸν
habit the with her to-us communion as to-kinsmen further
ἐδωρήσατο, καὶ τῶν οἰκείων ἀνέδειξε μετόχους καλῶν·
bestowed and of-the own showed(-us) sharers beautiful(-things)
τῆς μὲν ἀποστατικῆς πληθύος, ὡς ἡ κρυφία παράδοσις
of-the indeed apostate multitude as the hidden tradition
ἔχει, τὸ καθ' ἡμῶν καταλύσασα κράτος οὐ κατὰ δύναμιν,
has(-it) the against us having-destroyed power not according-to power
ὡς ὑπερισχύουσα, κατὰ δὲ τὸ μυστικῶς ἡμῖν παραδοθὲν
as overpowering according-to but the mystically to-us handed-down
λόγιον, ἐν κρίσει καὶ δικαιοσύνῃ. Τὰ καθ' ἡμᾶς δὲ
oracle in judgment and justice the(-things) according-to us and
πρὸς τοὐναντίον ἅπαν ἀγαθουργῶς μετεσκευάσατο· τὸ μὲν
to the-contrary entirely beneficently transformed the indeed
γὰρ κατὰ νοῦν ἡμῶν ἀλαμπὲς ἐνέπλησεν ὀλβίου καὶ
for according-to intellect our lightless(-part) filled with-blessed and
θειοτάτου φωτός, καὶ τοῖς θεοειδέσιν ἐκόσμησε τὸ ἀνείδεον
most-divine light and with-the godlike adorned the formless
κάλλεσι· τὸ δὲ τῆς ψυχῆς οἰκητήριον ἐν παντελεῖ σωτηρίᾳ
beauties the and of-the soul dwelling in complete salvation

τῆς ὅσον οὔπω καταπεσούσης ἡμῶν οὐσίας ἐναγεστάτων
of-the all but fallen our substance from-most-accursed
παθῶν καὶ φθοροποιῶν μολυσμῶν ἠλευθέρωσεν, ἀναγωγὴν
passions and corrupting defilements freed uplifting
ἡμῖν ὑπερκόσμιον δείξασα καὶ πολιτείαν ἔνθεον ἐν ταῖς
to-us supramundane having-shown and way-of-life inspired in the
πρὸς αὐτὴν ἡμῶν ἱεραῖς κατὰ τὸ δυνατὸν ἀφομοιώσεσι.
to her our holy according-to the possible assimilations
Τὸ θεομίμητον δὲ πῶς ἂν ἡμῖν ἑτέρως ἐγγένοιτο, μὴ 12
the imitation-of-God and how — in-us otherwise could-arise not
τῆς τῶν ἱερωτάτων θεουργιῶν μνήμης ἀνανεουμένης ἀεὶ
the of-the most-holy divine-works memory being-renewed always
ταῖς ἱεραρχικαῖς ἱερολογίαις τε καὶ ἱερουργίαις; Τοῦτο οὖν
by-the hierarchic holy-discourses both and sacred-works this then
ποιοῦμεν, ὡς τὰ λόγιά φησιν, εἰς τὴν αὐτῆς ἀνάμνησιν.
we-do as the oracles say in the its remembrance
Ἔνθεν ὁ θεῖος ἱεράρχης, ἐπὶ τοῦ θείου θυσιαστηρίου
hence the divine hierarch at the divine altar
καταστάς, ὑμνεῖ τὰς εἰρημένας ἱερὰς θεουργίας Ἰησοῦ
having-taken-his-stand hymns the aforesaid holy divine-works of-Jesus
τῆς θειοτάτης ἡμῶν προνοίας, ἃς ἐπὶ σωτηρίᾳ τοῦ
of-the most-divine for-us providence which for salvation of-the
γένους ἡμῶν εὐδοκίᾳ τοῦ παναγεστάτου Πατρὸς ἐν
race our by-good-pleasure of-the all-holiest Father in
Πνεύματι ἁγίῳ, κατὰ τὸ λόγιον, ἐτελείωσεν. Ὑμνήσας
Spirit Holy according-to the oracle he-accomplished having-hymned
δὲ καὶ τὴν σεβασμίαν αὐτῶν καὶ νοητὴν θεωρίαν ἐν
then and the venerable their and intelligible contemplation with
νοεροῖς ὀφθαλμοῖς ἐποπτεύσας, ἐπὶ τὴν συμβολικὴν αὐτῶν
intellectual eyes having-beheld to the symbolic their
ἱερουργίαν ἔρχεται, καὶ τοῦτο θεοπαραδότως· ὅθεν εὐλαβῶς
sacred-work comes and this as-God-handed-down whence reverently

τε ἅμα καὶ ἱεραρχικῶς μετὰ τοὺς ἱεροὺς τῶν θεουργιῶν
both at-once and hierarchically after the holy of-the divine-works
ὕμνους ὑπὲρ τῆς ὑπὲρ αὐτὸν ἱερουργίας ἀπολογεῖται,
hymns for the above him sacred-work excuses-himself
πρότερον ἱερῶς πρὸς αὐτὸν ἀναβοῶν, Σὺ εἶπας· Τοῦτο
first holily to him crying-out you said this
ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Εἶτα τῆς θεομιμήτου
do in the my remembrance then of-the God-imitating
ταύτης ἱερουργίας ἄξιος αἰτήσας γενέσθαι, καὶ τῇ πρὸς
this sacred-work worthy having-asked to-become and by-the to
αὐτὸν Χριστὸν ἀφομοιώσει τὰ θεῖα τελέσαι, καὶ
very Christ assimilation the divine(-things) to-perform and
διαδοῦναι πανάγνως, καὶ τοὺς τῶν ἱερῶν μεθέξοντας
to-distribute all-purely and the(-ones) of-the holy(-things) about-to-partake
ἱεροπρεπῶς μετασχεῖν, ἱερουργεῖ τὰ θειότατα, καὶ ὑπ᾽
sacred-befittingly to-partake sacredly-performs the most-divine(-things) and under
καὶ τὴν ἀνάστασιν Χριστοῦ, ἐν τῇ Ἐκκλησίᾳ τέτακται.
and the resurrection of-Christ in the Church it-is-placed
Ἔστι δὲ καὶ κατὰ τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου, ἐν
it-is and also after the ark of-the covenant of-(the)-Lord in
ᾗ λέγεται Ἅγια ἁγίων καὶ ἁγίασμα αὐτοῦ· ἐν ᾗ
which is-said Holy(-things) of-holy(-things) and sanctuary his in which
προσέταξεν ὁ Θεὸς γενέσθαι δύο Χερουβὶμ ἑκατέρωθεν
commanded — God to-be-made two Cherubim on-each-side

τορνευτά. Τὸ γὰρ Κίβ, ἐστι κιβωτός, τὸ δὲ Ὅριον,
turned the for Kib is ark the and Orion
φωτισμὸς Κυρίου, ἢ φῶς Θεοῦ. Θυσιαστήριόν ἐστιν
enlightenment of-(the)-Lord or light of-God (the)-altar is
ἱλαστήριον, ἐν ᾧ προσεφέρετο περὶ τῆς ἁμαρτίας κατὰ
(the)-mercy-seat on which was-offered for the sin after
τὸ ἅγιον μνῆμα τοῦ Χριστοῦ, ἐν ᾧ θυσιαστηρίῳ καὶ
the holy tomb — of-Christ on which altar also
θυσίαν ἑαυτὸν ὁ Χριστὸς προσήγαγε τῷ Θεῷ καὶ Πατρί,
(as)-sacrifice himself — Christ brought — to-God and Father
διὰ τῆς προσφορᾶς τοῦ σώματος αὐτοῦ, ὡς ἀμνὸς
through the offering of-the body his as lamb
θυόμενος, καὶ ὡς ἀρχιερεὺς καὶ υἱὸς ἀνθρώπου, προσφέρων
sacrificed and as high-priest and son of-man offering
καὶ προσφερόμενος, εἰς μυστικὴν καὶ ἀναίμακτον θυσίαν,
and offered for (a)-mystical and bloodless sacrifice
καὶ λογικὴν λατρείαν τοῖς πιστοῖς ἱεροθυτούμενος, δι᾽
and rational worship for-the faithful being-sacrificed through
ἧς μέτοχοι γεγόναμεν τῆς αἰωνίου ζωῆς καὶ ἀθανάτου.
which partakers we-have-become of-the eternal life and immortal
Ὅνπερ ἀμνὸν προετύπωσεν ἐν Αἰγύπτῳ Μωσῆς πρὸς
which-very lamb prefigured in Egypt Moses toward
ἑσπέραν, καὶ τῷ αἵματι αὐτοῦ τὸν ὀλοθρευτὴν ἄγγελον
evening and by-the blood its the destroying angel
ἀπέστρεψε, τοῦ μὴ θανατῶσαι τὸν λαόν. Τὸ γὰρ πρὸς
turned-away for-the not to-kill the people the for toward
ἑσπέραν σημαίνει, ὅτι καὶ πρὸς ἑσπέραν ἐσφαγιάσθη ὁ
evening signifies that also toward evening was-slaughtered the
ἀληθινὸς Ἀμνός, ὁ τοῦ κόσμου αἴρων τὴν ἁμαρτίαν
true Lamb the(-one) of-the world taking-away the sin
τῷ σταυρῷ αὐτοῦ, Χριστός· «Καὶ γὰρ τὸ Πάσχα ἡμῶν
on-the cross his Christ and for the Passover our

ὑπὲρ ἡμῶν ἐτύθη Χριστός.» Θυσιαστήριόν ἐστι καὶ
for us was-sacrificed Christ (an)-altar is and
λέγεται ἡ φάτνη καὶ ὁ τάφος τοῦ Κυρίου· θυσιαστήριόν ἐστι
is-called the manger and the tomb of-the Lord altar it-is
καὶ λέγεται κατὰ τὸ ἐπουράνιον καὶ νοερὸν θυσιαστήριον,
and is-called after the heavenly and intellectual altar
ἐν ᾧπερ ἀντιτυποῦσι τὰς νοερὰς καὶ λειτουργικὰς ἱεραρχίας
in which represent the intellectual and liturgical hierarchies
τῶν ἀΰλων καὶ ἄνω Δυνάμεων· καὶ οἱ ἐπίγειοι καὶ
of-the immaterial and above Powers also the earthly and
ἔνυλοι ἱερεῖς παρεστῶτες καὶ λατρεύοντες τῷ Κυρίῳ διὰ
material priests standing-by and serving the Lord through
παντός· ὥστε καὶ τοιούτους δεῖ εἶναι, ὡς πῦρ φλέγον.
all so-that also such (one)-must be as fire burning
Κατὰ γὰρ τὴν τῶν ἐπουρανίων ἀκολουθίαν, καὶ τὴν
according-to for the of-the heavenly(-ones) order and the
τῶν ἐπιγείων διάταξιν ὁ Υἱὸς τοῦ Θεοῦ καὶ κριτὴς τῶν
of-the earthly(-ones) arrangement the Son — of-God and judge of-the
ἁπάντων ἐνομοθέτησε. Βῆμά ἐστιν ὑπόβαθρος τόπος καὶ
all legislated (the)-bema is (a)-low place and
θρόνος, ἐν ᾧπερ ὁ παμβασιλεὺς Χριστὸς προκάθηται μετὰ
throne in which the all-king Christ presides with
αὐτοῦ ἀποστόλων, ὡς λέγει πρὸς αὐτούς, ὅτι «Καθήσεσθε
his apostles as he-says to them that you-will-sit
ἐπὶ δώδεκα θρόνων κρίνοντες τὰς ιβ΄ φυλὰς τοῦ Ἰσραήλ.»
on twelve thrones judging the twelve tribes — of-Israel
Θρόνοι δὲ λέγονται τὸ κήρυγμα τῆς πίστεως, ἐν ᾧ
thrones and are-called the proclamation of-the faith in which
κηρύγματι θαῤῥοῦντες, ἐδίδαξαν, καὶ δι᾽ αὐτοῦ λαμβάνουσι
proclamation being-bold they-taught and through it they-receive
τὴν ἀντιμισθίαν τοῦ κηρύγματος, τὴν ἐπουράνιον βασιλείαν,
the reward of-the proclamation the heavenly kingdom

ἐπεὶ καθέδρα ἐκεῖ οὐκ ἔστιν. Ὑποδεικνύει δὲ καὶ τὴν
since seat there not there-is it-shows and also the
δευτέραν αὐτοῦ παρουσίαν, καθ' ἣν ἐλθὼν ἐν δόξῃ κρῖναι
second his coming at which having-come in glory to-judge
ζῶντας καὶ νεκρούς, ἀποδοὺς ἑκάστῳ κατὰ τὸ ἔργον
living and dead rendering to-each according-to the work
αὐτοῦ, καὶ πάντα κόσμον κρῖναι, ὡς λέγει ὁ Προφήτης· ὅτι
his and all (the)-world to-judge as says the Prophet that
«Ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ.»
there sat thrones for judgment thrones over (the)-house of-David

THE SANCTUARY, THE CLERGY, AND THEIR VESTMENTS

The railings mark off the people's place from the Holy of Holies; the ambo is the stone rolled from the tomb. Christians pray to the east, and do not kneel on Sundays or from Easter to Pentecost. The priest's tonsure is the crown of thorns and Peter's head; his robe the scarlet cloak and the flesh dyed in blood. Presbyters and deacons are the seraphim and the angels; most vestments recall the Passion, though the sticharion shows the divinity, the omophorion the lost sheep, and the monk's habit imitates the Baptist and the apostles.

Κοσμήτης ἐστὶ κατὰ τὸ νομικὸν καὶ ἅγιον κόσμιον,
(the)-kosmetes is after the legal and holy ornament
ἐμφαῖνον τοῦ σταυρωθέντος Χριστοῦ τὸ ἐκσφράγισμα, διὰ
showing of-the crucified Christ the impress through
τοῦ σταυροῦ κοσμούμενον. Κιόνια ἤτοι τὰ στήθεα τὰ
the cross adorned (the)-columns or the breasts the(-ones)
διαχωρίζοντα τὸ βῆμα ἀπὸ τοῦ λοιποῦ ναοῦ, εἰσὶν ἃ
dividing the bema from the rest temple are which
δηλοῦσι· τὸ μὲν ἔξωθεν τοῦ βήματος ναόν, τὴν εἴσοδον καὶ
show the indeed outside of-the bema temple the entrance and

παράστασιν τοῦ λαοῦ τοῦ εἰσερχομένου εἰς προσευχήν· τὸ
presence of-the people the(-one) entering for prayer the
δὲ ἔσωθεν ἤτοι τὸ βῆμα, δηλοῖ τὰ Ἅγια τῶν ἁγίων,
and inside or the bema shows the Holy(-things) of-the holy(-things)
εἰς ὃ καὶ μόνοι οἱ ἱερεῖς καὶ οἱ μετ' αὐτῶν εἰσίασι.
into which also alone the priests and the(-ones) with them go
Κάγκελλά εἰσι, τῆς προσευχῆς τόπον δηλοῦντα, ἐν οἷς
(the)-railings are of-the prayer (the)-place showing in which
σημαίνει τὴν μὲν ἔξωθεν τοῦ λαοῦ εἴσοδον, τὴν δὲ ἔσωθεν
it-signifies the indeed outside of-the people entrance the and inside
τὰ Ἅγια τῶν ἁγίων ὑπάρχουσαν, καὶ μόνοις τοῖς
the Holy(-things) of-the holy(-things) being and only to-the
ἱερεῦσιν οὖσαν ἐπίβατον. Ἔστι δὲ καὶ ἀληθῶς εἰς τὸ ἅγιον
priests being accessible there-are and also truly at the holy
μνῆμα κάγκελλα χαλκᾶ, διὰ τὸ μηδένα εἰσιέναι ἐν αὐτῷ
tomb railings bronze because-of the no-one to-enter in it
ἁπλῶς, καὶ ὡς ἔτυχεν. Ὁ ἄμβων ἐστὶν ἐμφαίνων τὸ σχῆμα
simply and as it-happened the ambo is showing the shape
τοῦ λίθου τοῦ ἁγίου μνήματος, ὃν ὁ ἄγγελος ἀποκυλίσας
of-the stone of-the holy tomb which the angel having-rolled-away
ἐκ τῆς θύρας τοῦ μνήματος, ἀνεβόα τὴν ἀνάστασιν τοῦ
from the door of-the tomb proclaimed the resurrection of-the
Κυρίου ταῖς μυροφόροις. Ἔστι δὲ καὶ κατὰ τὸν Προφήτην
Lord to-the myrrh-bearers it-is and also after the Prophet
τὸν λέγοντα· «Ἐπ' ὄρους πεδικοῦ ἄρατε σημεῖον·
the(-one) saying on mountain of-the-plain raise (a)-sign
ἀνάβηθι ὁ εὐαγγελιζόμενος, καὶ ὕψωσον φωνήν·»
go-up the(-one) bringing-good-news and lift-up (your)-voice
ὄρος γάρ ἐστιν εἰς τόπον πεδινὸν καὶ ὁμαλὸν κείμενον.
(a)-mountain for it-is on place level and even lying

Τὸ κατὰ ἀνατολὰς εὔχεσθαι, παραδεδομένον ἐστίν, ὡς
the toward (the)-east to-pray handed-down is as
καὶ τὰ λοιπά, ἐκ τῶν ἁγίων ἀποστόλων, καὶ ἔστιν
also the rest(-things) from the holy apostles and it-is
οὕτως, διὰ τὸ τὸν νοητὸν Ἥλιον τῆς δικαιοσύνης
so because-of the the intelligible Sun of-the righteousness
Χριστὸν τὸν Θεὸν ἡμῶν ἐπὶ γῆς φανῆναι ἐν τοῖς
Christ — God our on earth to-have-appeared in the
μέρεσι τῆς ἀνατολῆς τοῦ αἰσθητοῦ ἡλίου, κατὰ τὸν
parts of-the east of-the sensible sun according-to the
προφήτην τὸν λέγοντα· «Ἀνατολὴ ὄνομα αὐτῷ.» Καὶ
prophet the(-one) saying (the)-East (is)-name to-him and
πάλιν· «Προσκυνήσατε τῷ Κυρίῳ τῷ ἐπιβεβηκότι
again worship the Lord the(-one) having-mounted
ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς.» Καί·
upon the heaven of-the heaven toward (the)-east and
«Προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες
let-us-worship at the place where stood the feet
αὐτοῦ.» Καὶ πάλιν· «Στήσονται οἱ πόδες Κυρίου ἐπὶ τὸ
his and again will-stand the feet of-(the)-Lord on the
ὄρος Κυρίου τῶν ἐλαιῶν κατὰ ἀνατολάς.» Ταῦτά φασιν
mount of-(the)-Lord of-the olives toward (the)-east these-things say
οἱ προφῆται, καὶ διὰ τὸ ἀποκαραδοκεῖν ἡμᾶς πάλιν
the prophets and because-of the to-await-eagerly us again
τὸν ἐν Ἐδὲμ παράδεισον κατὰ ἀνατολὰς ἀπολαμβάνειν,
the in Eden paradise toward (the)-east to-receive-back
καὶ ὡς ἐκδεχομένους τὴν ἀνατολὴν τῆς φωτοφανείας τῆς
and as awaiting the dawning of-the appearance-of-light of-the
δευτέρας τοῦ Κυρίου παρουσίας καὶ παλιγγενεσίας.
second of-the Lord coming and regeneration

Τὸ μὴ κλίνειν γόνυ τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς Ἁγίας
the not to-bend (the)-knee on-the resurrection day of-the Holy
Κυριακῆς, σημαίνει τὴν τῆς καταπτώσεως ἡμῶν ἀνόρθωσιν
Lord's-day signifies the of-the fall our raising-up
γενομένην διὰ τῆς τριημέρου τοῦ Χριστοῦ ἀναστάσεως.
having-come-about through the three-day — of-Christ resurrection
Τὸ δὲ μέχρι τῆς Πεντηκοστῆς μὴ κλίνειν γόνυ, ἔστι τὰς
the and until the Pentecost not to-bend (the)-knee is the
ἑπτὰ ἡμέρας μετὰ τὸ ἅγιον Πάσχα ἑπταπλουμένας κρατεῖν
seven days after the holy Pascha sevenfold to-hold-sway
τῇ διακινησίμῳ. Τὸ ἑπτάκις ἑπτά, τεσσαράκοντα ἐννέα,
in-the week-of-renewal the seven-times seven (is)-forty nine
καὶ ἡ Κυριακὴ πεντήκοντα. Τὸ δὲ ξύρισμα τῆς κεφαλῆς
and the Lord's-day fifty the and shaving of-the head
τοῦ ἱερέως, καὶ τὸ γυροειδὲς αὐτοῦ τμῆμα τὸ μέσον τῶν
of-the priest and the circular its cut the middle of-the
τριχῶν, ἀντὶ τοῦ ἀκανθίνου στεφάνου, ὅνπερ ὁ Χριστὸς
hairs (is)-instead-of the thorny crown which — Christ
ἐφόρεσεν. Ὁ ἐν τῇ κεφαλῇ τοῦ ἱερέως περικείμενος
wore the(-one) on the head of-the priest lying-around
διπλοῦς στέφανος ἐκ τῆς τῶν τριχῶν σημειώσεως,
double crown from the of-the hairs marking
εἰκονίζει τὴν τοῦ ἀποστόλου Πέτρου τιμίαν κάραν, ἣν
represents the of-the apostle Peter honored head which
ἐν τῷ τοῦ Κυρίου καὶ Διδασκάλου κηρύγματι ἀποσταλείς,
in the of-the Lord and Teacher proclamation having-been-sent
καὶ καρεὶς ὑπὸ τῶν ἀπειθούντων τῷ λόγῳ, ὡς
and having-been-shorn by the(-ones) disobeying the word as
ἐμπαιζόμενος ὑπ᾽ αὐτῶν, ταύτην ὁ διδάσκαλος Χριστὸς
mocked by them this the teacher Christ
εὐλόγησε, καὶ ἐποίησε τὴν ἀτιμίαν τιμήν, καὶ τὴν χλεύην εἰς
blessed and made the dishonor honor and the mockery into

δόξαν, καὶ ἔθηκεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον, οὐκ ἐκ
glory and placed on the head his (a)-crown not of
λίθων τιμίων, ἀλλὰ τῷ λίθῳ καὶ τῇ πέτρᾳ τῆς πίστεως
stones precious but with-the stone and the rock of-the faith
αὐτοῦ ἐκλάμπουσαν, ὑπὲρ χρυσίον καὶ τοπάζιον καὶ λίθους
his shining-forth beyond gold and topaz and stones
τιμίους. Κορυφὴ γὰρ κεκαλλωπισμένη, καὶ στέφανος τοῦ
precious (a)-head for adorned and (a)-crown of-the
δωδεκαλίθου, οἱ ἀπόστολοί εἰσι. Πέτρα δὲ ὁ παναγιώτατος
twelve-stoned the apostles are (the)-rock and the most-holy
ἀπόστολος ὑπάρχει ἀρχιεράρχης τοῦ Χριστοῦ.
apostle is (the)-chief-hierarch — of-Christ
Ἡ στολὴ τοῦ ἱερέως ὑπάρχει κατὰ τὸν ποδήρη Ἀαρών,
the robe of-the priest is after the ankle-length(-robe) of-Aaron
τουτέστιν ἱμάτιον, ὅ ἐστιν ἱερατικὸν ἔνδυμα, τὸ μέχρι
that-is (a)-garment which is (a)-priestly vestment the(-one) down-to
τῶν ποδῶν, τὸ τιμιώτατον. Ἔστι δὲ πυροειδής, κατὰ
the feet the most-precious it-is and fiery according-to
τὸν προφήτην τὸν λέγοντα· «Ὁ ποιῶν τοὺς ἀγγέλους
the prophet the(-one) saying the(-one) making the angels
αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον.»
his spirits and the ministers his (a)-fire flaming
Καὶ πάλιν· «Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ;»
and again who (is)-this the(-one) having-come from Edom
Ἐδὼμ γὰρ ἑρμηνεύεται γήϊνος, ἢ ἐκλεκτὸς ἢ κόκκινος. Εἶτα
Edom for is-interpreted earthy or chosen or scarlet then
ἐπάγει· «Ἐρύθημα ἱματίων αὐτοῦ, ἐξ ἀμπέλου Βοσώρ. Διὰ
he-adds (the)-redness of-garments his from (the)-vine of-Bosor for
τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου, ὡς ἀπὸ
what your red the garments and the clothes your as from
πατητοῦ ληνοῦ;» Ἐμφαίνοντος τὴν βαφεῖσαν τοῦ Χριστοῦ
(a)-trodden winepress showing the dyed — of-Christ

στολὴν τῆς σαρκὸς ἐν αἵμασιν, ἐν τῷ ἀχράντῳ αὐτοῦ
robe of-the flesh in bloods in the undefiled his
σταυρῷ. Πάλιν δὲ ὅτι καὶ κοκκίνην χλαμύδα ἐφόρεσεν ἐν
cross again and that also (a)-scarlet cloak wore in
τῷ πάθει ὁ Χριστός, ἐμφαίνουσιν οἱ ἀρχιερεῖς ποίου
the passion — Christ show the high-priests of-what-kind
ἀρχιερέως εἰσὶν ὑπασπισταί. Τὸ δὲ ἀπεζωσμένους τοὺς
high-priest they-are shield-bearers the and ungirded the
ἱερεῖς περιπατεῖν φαινόλαις, δείκνυσιν ὅτι καὶ ὁ Χριστὸς ἐν
priests to-walk in-phelonia shows that also — Christ in
τῷ σταυρῷ ἀπερχόμενος, οὕτως ἦν βαστάζων τὸν σταυρὸν
the cross going-away so was carrying the cross
αὐτοῦ. Ἐν ταῖς ἄνω λαμπρότησι τῶν νοερῶν οὐρανίων
his in the above splendors of-the intellectual heavenly
λειτουργῶν, προφητῶν καὶ ἱεραρχῶν, εἰσὶ πρεσβύτεροι
ministers prophets and hierarchs there-are presbyters
εἴκοσι τέσσαρες, καὶ διάκονοι ἑπτά. Οἱ μὲν πρεσβύτεροι
twenty four and deacons seven the indeed presbyters
κατὰ μίμησιν τῶν Σεραφικῶν Δυνάμεών εἰσι, ταῖς
after (the)-imitation of-the Seraphic Powers are with-the
μὲν στολαῖς, δίκην πτερύγων κατακεκαλυμμένοι,
indeed stoles after-the-manner of-wings covered
ταῖς δὲ δυσὶ πτέρυξι τῶν χειλέων τὸν ὕμνον βοῶντες,
with-the and two wings of-the lips the hymn crying
καὶ κατέχοντες τὸν θεῖον καὶ νοητὸν ἄνθρακα, Χριστὸν
and holding the divine and intelligible coal Christ
ἐν τῷ θυσιαστηρίῳ τῇ λαβίδι τῆς χειρὸς φανερῶς
in the altar with-the tongs of-the hand openly
φέροντες. Οἱ δὲ διάκονοι εἰς τύπον τῶν ἀγγελικῶν
carrying the and deacons for (a)-type of-the angelic
Δυνάμεων ταῖς λεπταῖς τῶν λεπτῶν ὡραρίων πτέρυξιν,
Powers with-the light of-the light oraria wings

ὡς λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα
as ministering spirits for service sent-forth
προτρέχουσι. Πρῶτον μὲν τὸ στιχάριον λευκὸν ὄν, τῆς
run-before first indeed the sticharion white being of-the
θεότητος τὴν αἴγλην ἐμφαίνει, καὶ τοῦ ἱερέως τὴν λαμπρὰν
divinity the radiance shows and of-the priest the bright
πολιτείαν. Τὰ λωρία τοῦ στιχαρίου εἰσί, τὰ ἐν τῇ χειρὶ
conduct the strings of-the sticharion are the(-ones) on the hand
ἐμφαίνοντα τὸν δεσμὸν τοῦ Χριστοῦ· δήσαντες γὰρ αὐτὸν
showing the binding — of-Christ having-bound for him
ἀπήγαγον πρὸς Καϊάφαν τὸν ἀρχιερέα καὶ τὸν Πιλᾶτον.
they-led-away to Caiaphas the high-priest and — Pilate
Τὰ λωρία τὰ εἰς τὰ πλάγιά εἰσι, τὸ αἷμα τὸ
the strings the(-ones) at the sides are the blood the(-one)
ῥεῦσαν ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ ἐν τῷ σταυρῷ. Τὸ
having-flowed from the side — of-Christ on the cross the
περιτραχήλιόν ἐστι τὸ φακεώλιον, μεθ' οὗ ἐπεφέρετο ὑπὸ
peritrachelion is the cloth with which was-led by
τοῦ ἀρχιερέως δεδεμένος, καὶ συρόμενος ἐπὶ τὸ πρόσθεν ἐπὶ
the high-priest bound and dragged to the front by
τῷ τραχήλῳ ὁ Χριστός, ἐν τῷ πάθει αὐτοῦ ἀπερχόμενος.
the neck — Christ in the passion his going-away
Τὸ δὲ τοῦ ἐπιτραχηλίου δεξιὸν μέρος, πέφηνεν ὁ κάλαμος
the and of-the epitrachelion right part has-appeared-as the reed
ὃν ἔδωκαν ἐμπαίζοντες τῇ δεξιᾷ τοῦ Χριστοῦ. Τὸ δὲ
which they-gave mocking to-the right(-hand) — of-Christ the and
τοῦ ἐξ εὐωνύμου μέρους, ἡ τοῦ σταυροῦ βασταγὴ ἐπὶ τῶν
of-the on (the)-left part the of-the cross carrying on the
ὤμων αὐτοῦ. Ἡ δὲ ζώνη, ἣν περιζώννυται, πέφηνεν
shoulders his the and girdle which he-girds-on has-appeared-as
ἡ εὐπρέπεια, ἣν ὁ Χριστὸς βασιλεύσας, εὐπρεπῆ
the comeliness which — Christ having-reigned comely

περιεζώσατο δύναμιν τῆς θεότητος. Τὸ δὲ φαινόλιον,
put-on (the)-power of-the divinity the and phelonion
ἐμφαίνει τὴν ἀπὸ κοκκίνου πορφύραν, ἥνπερ τῷ Ἰησοῦ
shows the from scarlet purple which-very — on-Jesus
ἐμπαίζοντες οἱ ἀσεβεῖς ἐφόρεσαν. Ἔστι δὲ καὶ ἡ στολὴ
mocking the impious put it-is and also the robe
τοῦ βαπτίσματος. Τὸ ὠμοφόριόν ἐστι τοῦ ἀρχιερέως,
of-the baptism the omophorion is of-the high-priest
κατὰ τὴν στολὴν τοῦ Ἀαρών, ἥνπερ ἐφόρουν οἱ ἐν
after the robe — of-Aaron which-very wore the(-ones) in
νόμῳ ἀρχιερεῖς, σουδαρίοις μακροῖς τὸν εὐώνυμον ὦμον
(the)-law high-priests with-napkins long the left shoulder
περιτιθέντες, κατὰ τὸν ζυγὸν τῶν ἐντολῶν τοῦ Χριστοῦ.
putting-around after the yoke of-the commandments — of-Christ
Τὸ δὲ ὠμοφόριον ὃ περιβέβληται ὁ ἐπίσκοπος, δηλοῖ
the and omophorion which is-wrapped-around the bishop shows
τὴν τοῦ προβάτου δοράν, ὅπερ πλανώμενον εὑρὼν ὁ
the of-the sheep skin which wandering having-found the
Κύριος, ἐπὶ τῶν ὤμων αὐτοῦ ἀνέλαβε, καὶ σὺν τοῖς μὴ
Lord on the shoulders his took-up and with the not
πεπλανημένοις ἠρίθμησεν. Ἔχει δὲ καὶ σταυρούς, διὰ
having-strayed numbered it-has and also crosses because-of
τὸ καὶ τὸν Χριστὸν ἐπὶ τοῦ ὤμου βαστάσαι τὸν σταυρὸν
the also — Christ on the shoulder to-have-carried the cross
αὐτοῦ. Ἔτι δὲ καὶ οἱ θέλοντες κατὰ Χριστὸν ζῆν
his further and also the(-ones) wishing according-to Christ to-live
ἐπὶ τῶν ὤμων αἴρουσι τὸν σταυρὸν αὐτοῦ, ὅ ἐστιν ἡ
on the shoulders lift the cross his which is the
κακοπάθεια· σύμβολον γὰρ κακοπαθείας ὁ σταυρός. Τὸ
hardship (a)-symbol for of-hardship the cross the
μοναχικὸν σχῆμά ἐστι κατὰ μίμησιν τοῦ Ἐρημοπολίτου
monastic habit is after (the)-imitation of-the Desert-dweller

καὶ Βαπτιστοῦ Ἰωάννου, ὅτι τὸ ἔνδυμα αὐτοῦ ἦν ἐκ τριχῶν
and Baptist John that the garment his was of hairs
καμήλου, καὶ ζώνη δερματίνη περὶ τὴν ὀσφὺν αὐτοῦ. Τὸ
of-camel and (a)-girdle leathern around the loins his the
δὲ κείρεσθαι τὴν κάραν ὁλοτελῶς, κατὰ μίμησιν τοῦ
and to-be-shorn the head entirely (is)-after (the)-imitation of-the
ἁγίου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοθέου, καὶ Παύλου τοῦ
holy apostle James the brother-of-God and Paul the
ἀποστόλου καὶ τῶν λοιπῶν. Τὰ δὲ ἀναβόλαιά εἰσι κατὰ
apostle and of-the rest the and mantles are after
τὰ ἀναβόλαια, ἅπερ ἐφόρουν ἱμάτια. Τὰ δὲ κουκούλλια,
the mantles which they-wore (as)-garments the and cowls
κατὰ τὸν λέγοντα Ἀπόστολον· ὅτι «Ἐσταύρωταί μοι
(are)-after the(-one) saying Apostle that has-been-crucified to-me
ὁ κόσμος, κἀγὼ τῷ κόσμῳ.» Τὸ δὲ μανδίον, ἐμφαῖνον
the world and-I to-the world the and mandyas showing
διὰ τῆς ἀπολελυμένης ἁπλώσεως τὴν πτερωτικὴν τῆς
through the loosened spreading the winged of-the
τῶν ἀγγέλων μιμήσεως, καθότι ἀγγελικὸν σχῆμα λέγεται.
of-the angels imitation since angelic habit it-is-called
Ἡ δὲ ὀθόνη μεθ' ἧς λειτουργοῦσιν οἱ διάκονοι, δηλοῖ τὴν
the and linen with which minister the deacons shows the
τοῦ Χριστοῦ ταπείνωσιν, ἣν ἐνεδείξατο ἐν τῷ νιπτῆρι. Τὸ
— of-Christ humility which he-showed at the basin the
δὲ ἐγχείριον τὸ ἐπὶ τῆς ζώνης, ἐστὶ τὸ ἀπομάξαν
and handkerchief the(-one) on the girdle is the(-one) having-wiped
τὰς χεῖρας αὐτοῦ λέντιον· καὶ πέφυκε τὸ ἐγχείριον
the hands his towel and it-is-natural the handkerchief
ἔχειν, ἐπὶ τῆς ζώνης, ἀντίτυπον τοῦ ἀπομάξαντος τὰς
to-have on the girdle (as)-antitype of-the(-one) having-wiped the
χεῖρας, καὶ τοῦ «Ἀθῷός εἰμι» ἐπιφωνήσαντος.
hands and of-the(-one) innocent I-am having-cried-out

The prothesis is Golgotha and Abraham's offering; the bread is Christ's body pierced by the spear, cut from the offering loaf as he took flesh from the Virgin, and left there as at Bethlehem and Nazareth through his hidden years. The paten is the bier, the wine and water from his side the blood and the Spirit's fervor, the chalice the vessel that received that blood; the veils and aer the shroud, napkin, and sealed stone; the censer his humanity, its fire his divinity. The priest who begins is John the Forerunner, the blessing names the Trinity, and the first petition teaches prayer in peace.

Ἡ προσκομιδὴ ἡ γενομένη ἐν τῷ σκευοφυλακίῳ,
the prothesis the(-one) taking-place in the sacristy
ἐμφαίνει τὸν Κρανίου τόπον, ἐν ᾧ ἐσταυρώθη ὁ Χριστός·
shows the of-(the)-Skull place in which was-crucified — Christ
ἐν ᾧ λόγος, κεῖσθαι τὸ κρανίον τοῦ προπάτορος Ἀδάμ·
in which (the)-word-goes to-lie the skull of-the forefather Adam
δείκνυσι δέ, ὅτι «Ἐγγὺς ἦν τὸ μνημεῖον ὅπου ἐσταυρώθη.»
it-shows and that near was the tomb where he-was-crucified
Προετυπώθη δὲ ὁ τοῦ Κρανίου τόπος οὗτος ἐν τῷ
was-prefigured and the of-the Skull place this in —
Ἀβραάμ, ὅτε ἐφ' ἑνὶ τῶν ὀρέων τοῦ Θεοῦ κελεύσαντος,
Abraham when on one of-the mountains — God having-commanded
τὸ θυσιαστήριον ἐκ λίθων ἐποίησε, καὶ ἐπέβασε ξύλα, καὶ
the altar of stones he-made and put-on wood and
ἔθηκε τὸν υἱὸν αὐτοῦ, καὶ ἀνήνεγκε κριὸν ἀντ' αὐτοῦ εἰς
placed the son his and offered-up (a)-ram instead-of him for
ὁλοκάρπωσιν. Οὕτως ὁ Θεὸς καὶ Πατήρ, ὁ ἄναρχος
(a)-whole-burnt-offering so — God and Father the without-beginning
καὶ Παλαιὸς τῶν ἡμερῶν, τὸν ἄναρχον Υἱὸν αὐτοῦ ἐπ'
and Ancient of-the Days the without-beginning Son his at
ἐσχάτων τῶν χρόνων, σαρκωθέντα ἐκ τῆς Παρθένου καὶ
(the)-last of-the times incarnate from the Virgin and

Θεοτόκου, ἐκ τῆς ὀσφύος Ἀβραὰμ κατ᾽ ἐπαγγελίαν
God-bearer from the loins of-Abraham according-to (the)-promise
τοῦ ὅρκου οὗ ἔθηκε πρὸς αὐτόν. Ὥστε καὶ ὑπὲρ γένους
of-the oath which he-made to him so-that even for (the)-race
ἀνθρώπου, «οὐκ ἐφείσατο τοῦ Υἱοῦ αὐτοῦ τοῦ ἀγαπητοῦ
of-man not he-spared the Son his the beloved
καὶ μονογενοῦς, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν
and only-begotten but for us all he-handed-over
αὐτόν·» καὶ ἔπαθε μὲν ὡς ἄνθρωπος ἐν τῇ σαρκί,
him and he-suffered indeed as man in the flesh
ἀλλ᾽ ἔμεινεν ἀπαθὴς ἐν τῇ θεότητι. Καὶ γὰρ ὁ Χριστὸς
but remained impassible in the divinity and for — Christ
ἀπερχόμενος ἐν τῷ σταυρῷ αὐτοῦ, ἐβάσταζε τὸν σταυρόν·
going-away on the cross his carried the cross
καὶ ἀντὶ κριοῦ ἐτύθη τὸ σῶμα αὐτοῦ τὸ ἄμωμον, ὡς
and instead-of (a)-ram was-sacrificed the body his the blameless as
ἀμνὸς σφαττόμενος τῇ λόγχῃ τὴν πλευρὰν αὐτοῦ, καὶ
(a)-lamb slaughtered by-the spear (in)-the side his and
Ἀρχιερεὺς γενόμενος, ὡς Υἱὸς ἀνθρώπου, καὶ προσφέρων
High-Priest having-become as Son of-man and offering
ἑαυτόν, καὶ προσφερόμενος εἰς τὸ ἀνενέγκαι ἁμαρτωλοὺς
himself and being-offered for the to-bear sinners
πολλούς. Καὶ τέθνηκε μὲν ὡς ἄνθρωπος, ἀνέστη δὲ ὡς
many and he-died indeed as man he-rose but as
Θεός, δι᾽ ἣν εἶχεν ὑπερκόσμιον δόξαν παρὰ τῷ Θεῷ
God through which he-had supramundane glory with — God
καὶ Γεννήτορι. Ἡ δὲ προσκομιδὴ τοῦ ἄρτου, πέφηνε
and Begetter the and prothesis of-the bread has-appeared-as
τὸ σῶμα τοῦ Κυρίου, τὸ παγὲν διὰ τὴν σωτηρίαν
the body of-the Lord the(-one) fixed for the salvation
ἡμῶν τῶν πιστῶν. Ὁ ἄρτος τῆς προθέσεως ὁ
of-us the faithful the bread of-the offering the(-one)

ἀποκαθιερούμενος, ἐμφαίνει τὴν κάθαρσιν τοῦ κόσμου,
being-consecrated shows the cleansing of-the world
καὶ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος τοῦ
and the surpassing wealth of-the kindness —
Θεοῦ, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος γέγονε, καὶ ἑαυτὸν
of-God that the Son — of-God man has-become and himself
προέθηκε θυσίαν καὶ προσφοράν, καὶ τὸ σῶμα αὐτοῦ
set-forth (as)-sacrifice and offering and the body his
ἀντίλυτρον ἐξίλασμα ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ
(as)-ransom propitiation for the of-the world life and
σωτηρίας· ἀναλαβὼν μὲν τὸ φύραμα ὅλον τῆς ἀνθρωπίνης
salvation having-assumed indeed the lump whole of-the human
φύσεως χωρὶς ἁμαρτίας, προσενεχθεὶς δὲ ὡς ἀπαρχὴ
nature without sin having-been-offered and as first-fruit
καὶ ἐξαίρετον ὁλοκάρπωμα τῷ Θεῷ καὶ Πατρὶ ὑπὲρ τοῦ
and choice whole-burnt-offering — to-God and Father for the
ἀνθρωπίνου γένους, ὡς λέγει· «Ἐγώ εἰμι ὁ ἄρτος, ὁ
human race as he-says I am the bread the(-one)
ἐκ τοῦ οὐρανοῦ καταβάς·» καί, «Ὁ τρώγων τοῦτον
from the heaven having-come-down and the(-one) eating this
τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα.» Περὶ οὗ φησι καὶ
the bread will-live to the age about which says also
ὁ προφήτης Ἱερεμίας· «Δεῦτε καὶ ἐμβάλλωμεν ξύλον εἰς
the prophet Jeremiah come and let-us-cast wood into
τὸν ἄρτον αὐτοῦ,» δεικνὺς τὸ ξύλον τοῦ σταυροῦ, τὸ
the bread his showing the wood of-the cross the(-one)
ἐν τῷ σώματι ἐμπαγέν. Ἡ δὲ λόγχη, ἀντὶ τῆς
in the body fixed the and spear (is)-instead-of the(-one)
κεντησάσης τὴν πλευρὰν τοῦ Κυρίου. Τὸ δὲ ἐν τῇ λόγχῃ
having-pierced the side of-the Lord the and in the spear
ἀποκαθαίρεσθαι, σημαίνει τό, «ὡς πρόβατον ἐπὶ σφαγὴν
to-be-cleansed signifies the as (a)-sheep to slaughter

ἤχθη,» καὶ τὰ ἑξῆς. Ὁ δὲ δίσκος, ἡ κλίνη ἐστίν, ἐν ᾗ
he-was-led and the following the and paten the bier is on which
τὸ σῶμα τοῦ Κυρίου ὑπὸ τοῦ ἱερέως καὶ τοῦ διακόνου
the body of-the Lord by the priest and the deacon
κατασκευάζεται· οἵτινές εἰσιν Ἰωσὴφ καὶ Νικόδημος. Ὁ
is-prepared who are Joseph and Nicodemus the
δὲ οἶνος πέφηνε τὸ αἷμα, τὸ ἐκ τῆς πλευρᾶς τοῦ
and wine has-appeared-as the blood the(-one) from the side —
Χριστοῦ ῥεῦσαν. Ἔστι δὲ καὶ ὁ μυστικὸς οἶνος, ὃν
of-Christ having-flowed it-is and also the mystical wine which
ἔδωκε τοῖς μαθηταῖς ἐν τῷ δείπνῳ. Τὸ δὲ ὕδωρ πέφηνε
he-gave to-the disciples at the supper the and water has-appeared-as
τὸ ῥεῦσαν ἐκ τῆς πλευρᾶς αὐτοῦ τοῦ Χριστοῦ, καὶ
the(-one) having-flowed from the side his — of-Christ and
διὰ τὴν θερμότητα δηλοῖ τὴν ζέσιν τοῦ ἁγίου Πνεύματος·
through the warmth it-shows the fervor of-the Holy Spirit
τὴν δὲ λευκότητα, τὴν ἀκίβδηλον πίστιν.
the and whiteness the unalloyed faith
Ὁ οἶνος ὁμοῦ καὶ ὕδωρ, εἰσὶ τὸ ἐξελθὸν ἐκ τῆς
the wine together and water are the(-one) having-come-out from the
πλευρᾶς αὐτοῦ αἷμα καὶ ὕδωρ, καθὼς ὁ προφήτης λέγει·
side his blood and water as the prophet says
«Ἄρτος αὐτῷ δοθήσεται φαγεῖν, καὶ ὕδωρ αὐτῷ ποτὸν
bread to-him will-be-given to-eat and water to-him (a)-drink
πιστόν.» Ἀντὶ γὰρ τῆς λόγχης τῆς κεντησάσης τὸν
sure instead-of for the spear the(-one) having-pierced —
Χριστὸν ἐν τῷ σταυρῷ ὑπὸ Λογγίνου, ἔστιν αὕτη ἡ
Christ on the cross by Longinus is this the
λόγχη. Ὁ ἄρτος καὶ τὸ ποτήριον κυρίως καὶ ἀληθῶς,
spear the bread and the cup properly and truly
κατὰ μίμησιν τοῦ μυστικοῦ ἐκείνου δείπνου, ἐν ᾧ
after (the)-imitation of-the mystical that supper in which

ὁ Χριστὸς ἔλαβεν ἄρτον καὶ οἶνον, καὶ εἶπε· «Λάβετε,
— Christ took bread and wine and said take
φάγετε καὶ πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ
eat and drink of it all this for is the
σῶμά μου καὶ τὸ αἷμα·» δεικνύς, ὅτι κοινωνοὺς ἡμᾶς
body my and the blood showing that sharers us
ἐποίησε τοῦ θανάτου, καὶ τῆς ἀναστάσεως, καὶ τῆς δόξης
he-made of-the death and of-the resurrection and of-the glory
αὐτοῦ. Ἡ δὲ προσφορά, ἡ καὶ ἄρτος καὶ εὐλογία καὶ
his the and offering the(-one) also bread and blessing and
ἀπαρχὴ λεγομένη, ἐξ ἧς τὸ Κυριακὸν σῶμα διατέμνεται,
first-fruit called from which the Lord's body is-cut
εἰς τύπον τῆς Ἀειπαρθένου καὶ Θεοτόκου λαμβάνεται, ἥτις
for (a)-type of-the Ever-Virgin and God-bearer is-taken who
κατ' εὐδοκίαν τοῦ Πατρός, καὶ θέλησιν τοῦ Υἱοῦ
according-to (the)-good-pleasure of-the Father and will of-the Son
αὐτοῦ καὶ Λόγου, καὶ ἐπέλευσιν τοῦ θείου Πνεύματος,
his and Word and (the)-coming-upon of-the divine Spirit
τὸν ἕνα τῆς ἁγίας Τριάδος, Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον
the one of-the holy Trinity Son — of-God and Word
εἰσδεξαμένη, τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον ἀπεκύησεν.
having-received perfect God and perfect man bore
Ὥσπερ δὲ πάλιν ὁ ὑπερούσιος Θεός, σάρκα ἐκ ταύτης
just-as and again the super-substantial God flesh from her
προσλαβόμενος ἐν μιᾷ ὑποστάσει, τέλειος ἦν Θεὸς καὶ
having-taken-on in one hypostasis perfect was God and
ἄνθρωπος, ὅμοιος ἡμῖν χωρὶς ἁμαρτίας· οὕτω καὶ τὸ
man like to-us without sin so also the
Κυριακὸν σῶμα ὡς ἔκ τινος κοιλίας καὶ σαρκὸς τοῦ
Lord's body as from some womb and flesh of-the
παρθενικοῦ σώματος (τοῦ ὅλου ἄρτου φημί, τῆς εὐλογίας
virginal body of-the whole bread I-mean of-the blessing

καὶ τῆς προσφορᾶς) παρὰ τοῦ διακόνου, ὡς ἡ μεγάλη
and of-the offering by the deacon as the great
Ἐκκλησία παρέλαβε, διατέμνεται σιδήρῳ τινὶ ὅνπερ καὶ
Church received is-cut with-iron some which also
λόγχην λέγουσιν, εἰ καὶ μήπω ταύτης ἐστὶν ὁ καιρός,
spear they-call if even not-yet of-it is the time
καὶ οὕτως ἰδιοϋποστάτως ἐκ μέσου ταύτης ἀφαιρεῖται.
and so as-its-own-hypostasis from (the)-middle of-it is-taken-away
Ὁ μέντοι διάκονος ὁ τοῦτο ἐνεργῶν, ἑτοιμάσας σὺν
the however deacon the(-one) this doing having-prepared with
αὐτῷ καὶ τὸ μέλλον ἐπιτελεῖσθαι Δεσποτικὸν αἷμα, ἐν
it also the about to-be-accomplished Lord's blood in
τῷ προσήκοντι τοῦ πάθους καιρῷ, διὰ τῆς ζωοποιοῦ
the fitting of-the passion time through the life-giving
Πνεύματος ἐπιφοιτήσεως, ἀφίησι ταῦτα ἐν τῇ προθέσει
Spirit's visitation leaves these-things in the prothesis
τὴν εὐχὴν ἐπιλέγοντος τοῦ ἱερέως. Αὐτὸς δὲ ὁ τὸ θεῖον
the prayer pronouncing the priest himself and the(-one) the divine
σῶμα διατέμνων διάκονος, ἀπὸ τῆς εὐλογίας τὸν ἄγγελον
body cutting deacon from the blessing the angel
μιμεῖται, τὸν τῇ Παρθένῳ τὸ Χαῖρε προσφθεγγόμενον.
imitates the(-one) to-the Virgin the Hail addressing
Εἰ δὲ καὶ ἱερεῖς τοῦτο τέμνουσιν, οὐ θαυμαστόν· πρὸς
if and also priests this cut not (is-it)-marvelous to
γὰρ τὰ ἔθη τῆς μεγάλης Ἐκκλησίας ὁρᾷν χρή. Οὕτω
for the customs of-the great Church to-look (one)-must so
τοιγαροῦν ἀφίεται τὸ θεῖον σῶμα ἐν τῇ προθέσει, ὥσπερ
therefore is-left the divine body in the prothesis as
ἐν Βηθλεέμ, ὅπου γεγέννηται ὁ Χριστός· «Οὗ αἱ ἔξοδοι
in Bethlehem where has-been-born — Christ whose the goings-forth
ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος.» Ὁμοῦ δὲ καὶ ὡς ἐν
from (the)-beginning from days of-eternity together and also as in

τῇ Ναζαρέτ. Πρὸς δέ, καὶ τῆς ἐν Καπερναοὺμ διατριβῆς
— *Nazareth besides and also the in Capernaum sojourn*
τὸν τόπον ἡ πρόθεσις ἐκπληροῖ. Τούτου γὰρ ἕνεκεν ἐν
the place the prothesis fulfills of-this for (for)-the-sake in
προοιμίοις προέφημεν, ὅτι τὸ ἓν τῶν νῦν τυπουμένων ἐπὶ
(the)-preface we-said-before that the one of-the now prefigured upon
δυσὶ καὶ τρισὶ τῶν τότε τελεῖται καὶ ἀναφέρεται καὶ
two and three of-the then is-accomplished and is-referred and
ἁπλῶς εἰπεῖν, τὸν τριακονταετῆ χρόνον τὸν πρὸ τοῦ
simply to-say the thirty-year time the(-one) before the
βαπτίσματος καὶ τὰς διατριβὰς ἡ πρόθεσις ἐκπληροῖ.
baptism and the sojourns the prothesis fulfills
Τὸ δὲ ποτήριόν ἐστιν ἀντὶ τοῦ σκεύους, ὃ ἐδέξατο τὸ
the and chalice is instead-of the vessel which received the
ἐκχυθὲν αἷμα τῆς κεντηθείσης ἀχράντου πλευρᾶς καὶ χειρῶν
poured-out blood of-the pierced undefiled side and hands
καὶ ποδῶν τοῦ Χριστοῦ τὸ ἀπομύρισμα. Ὁ δὲ κρατήρ, τὸ
and feet — of-Christ the outpouring the and bowl the
ῥύσιον ποτήριον, ὅπερ δέδωκε τοῖς μαθηταῖς αὐτοῦ ἐν τῷ
ransoming cup which he-has-given to-the disciples his at the
δείπνῳ. Ποτήριον δὲ πάλιν ἐστὶ κατὰ τὸν κρατῆρα, ὃν
supper (the)-chalice and again is after the bowl which
γράφει κυρίως· ἤτοι ἡ Σοφία καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἐκέρασε
writes properly or the Wisdom and the Son — of-God mixed
τὸ ἑαυτοῦ αἷμα, ἀντὶ τοῦ οἴνου ἐκείνου, καὶ προσέθηκεν
the his-own blood instead-of the wine that and set
ἐν τῇ ἁγίᾳ αὐτοῦ τραπέζῃ λέγων τοῖς πᾶσι· «Πίετε ἐξ
on the holy his table saying to-the all drink of
αὐτοῦ πάντες.» Ἀντὶ τοῦ οἴνου τοῦ κεκερασμένου εἰς
it all instead-of the wine the(-one) mixed for
ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν τὴν αἰώνιον. Κρατῆρες
forgiveness of-sins and for life the eternal bowls

ἑρμηνεύονται καὶ οἱ μαζοὶ τῆς Θεοτόκου, ῥύσιον εὐφροσύνης
are-interpreted also the breasts of-the God-bearer ransoming of-gladness
ποτήριον, καὶ φυλακτήριον παντὸς γένους βροτείου. Τὸ δὲ
cup and safeguard of-all race mortal the and
σκευοφυλάκιον ὅπου ἡ προσκομιδὴ ἐπιτελεῖται, ἀντὶ
sacristy where the prothesis is-performed (is)-instead-of
τοῦ Κρανίου τόπου. Τὸ εἰλητόν, σημαίνει τὴν σινδόνα,
the of-(the)-Skull place the eileton signifies the shroud
ἐν ᾗ ἐνειλήθη τὸ σῶμα τοῦ Χριστοῦ, ἐκ τοῦ σταυροῦ
in which was-wrapped the body — of-Christ from the cross
καταβὰν καὶ ἐν μνήματι τεθέν. Καὶ ἡ ἐπάνω κάλυψις
having-come-down and in (a)-tomb laid and the above covering
τοῦ δίσκου, ἐμφαίνει τὴν σινδόνα, ᾗ εἵλιξαν τὸ
of-the paten shows the shroud in-which they-wound the
σῶμα τοῦ Κυρίου. Τὸ δὲ δισκοκάλυμμά ἐστιν ἀντὶ τοῦ
body of-the Lord the and paten-veil is instead-of the
σουδαρίου τοῦ ὄντος ἐπὶ τοῦ προσώπου περικαλύπτοντος
napkin the(-one) being on the face covering
αὐτὸ ἐν τῷ τάφῳ. Τὸ καταπέτασμα ἤτουν ὁ ἀήρ ἐστι καὶ
it in the tomb the veil or the aer is and
λέγεται, ἀντὶ τοῦ λίθου οὗ ἠσφαλίσατο τὸ μνημεῖον
is-called instead-of the stone with-which secured the tomb
ὁ Ἰωσήφ, ὅπερ ἐσφράγισεν ἡ πλὰξ τῆς κουστωδίας.
— Joseph which sealed the slab of-the guard
Ἰδοὺ ἐσταύρωται ὁ Χριστός, τέθαπται ἡ ζωή, ἠσφαλίσθη
behold has-been-crucified — Christ has-been-buried the life was-secured
ὁ τάφος. Καὶ εὐθέως ὁ θυμιατὴρ ὑποδεικνύει τὴν
the tomb and immediately the censer points-to the
ἀνθρωπότητα τοῦ Χριστοῦ, τὸ πῦρ τὴν θεότητα· καὶ ὁ
humanity — of-Christ the fire the divinity and the
εὐώδης καπνὸς μηνύει τὴν εὐωδίαν τοῦ ἁγίου Πνεύματος
fragrant smoke announces the fragrance of-the Holy Spirit

προπορευομένην. Ὁ γὰρ θυμιατήρ, ἑρμηνεύεται εὐωδεστάτη
going-before the for censer is-interpreted most-fragrant
εὐφροσύνη. Τὸ δὲ θυμίαμα πέφυκεν, ἀντὶ τῶν ἀρωμάτων,
gladness the and incense is instead-of the spices
ἃ προσέφερον εἰς τὸν ἐνταφιασμὸν τοῦ Κυρίου· καὶ ἡ
which they-brought for the burial of-the Lord and the
σμύρνα, καὶ ὁ λίβανος τῶν μάγων, ἡ καθαρὰ προσευχὴ
myrrh and the frankincense of-the magi the pure prayer
τῶν ἀγαθῶν ἔργων, ἐξ ὧν ἡ εὐωδία ἔρχεται, καθώς
of-the good works from which the fragrance comes as
φησιν ὁ Ἀπόστολος· «Χριστοῦ εὐωδία ἐσμέν.»
says the Apostle of-Christ (a)-fragrance we-are
Γνῶτε οὖν πάντες οἱ ἱερεῖς, οἱ τῷ ἁγίῳ θυσιαστηρίῳ
know then all the priests the(-ones) at-the holy altar
προσεδρεύοντες, καὶ τὴν ἀναίμακτον θυσίαν ἱερουργοῦντες,
attending and the bloodless sacrifice performing
ὅτι τὰ ζωηρὰ πάθη Χριστοῦ καταγγέλλομεν. Δίδοται
that the living sufferings of-Christ we-proclaim is-given
τοίνυν καιρὸς παρὰ τοῦ ἀρχιερέως τῷ ἱερεῖ τῷ
therefore (the)-time by the high-priest to-the priest the(-one)
μέλλοντι ἄρχεσθαι τῆς θείας μυσταγωγίας. Οὗτος δὲ
about to-begin the divine mystagogy this and
ὁ καιρὸς σχηματίζει τὸν παρὰ τοῦ προφήτου Ἡσαΐου
the time figures the by the prophet Isaiah
προαναφωνηθέντα καιρὸν τῆς τοῦ Προδρόμου Ἰωάννου
proclaimed-before time of-the of-the Forerunner John
γεννήσεως, καὶ τῆς Χριστοῦ πρὸς ἡμᾶς ἐπιδημίας. Ὁ
birth and of-the of-Christ to us sojourn the
δέ γε ἱερεύς, ὁ τὴν ἔναρξιν τῆς θείας λειτουργίας
and at-least priest the(-one) the beginning of-the divine liturgy
ποιούμενος, εἰκόνα φέρει τοῦ Προδρόμου Ἰωάννου
making (the)-image bears of-the Forerunner John

καὶ Βαπτιστοῦ προκαταρξαμένου τοῦ κηρύγματος, καὶ
and Baptist having-begun the proclamation and
λέγοντος· «Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν
saying repent has-drawn-near for the kingdom of-the
οὐρανῶν·» καὶ βαπτίζοντος πάντας τοὺς προσερχομένους.
heavens and baptizing all the(-ones) coming
Οἱ διάκονοί εἰσιν οἱ ποιμένες· οἱ ἱερεῖς εἰσιν οἱ ἄγγελοι. Ὁ
the deacons are the shepherds the priests are the angels the
διάκονος· «Εὐλόγητον, δέσποτα.» Ὁ ἱερεύς· «Εὐλογημένη
deacon bless master the priest blessed
ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου
(is)-the kingdom of-the Father and of-the Son and of-the Holy
Πνεύματος.» Οὕτω τὴν πρώτην ἔχει τάξιν τῶν πρὸς
Spirit so the first holds rank of-the to
τὸν Θεὸν ἐντεύξεων ἡ δοξολογία. Διὰ τοῦτο πρὸ πάσης
— God petitions the doxology for this-reason before every
εὐχῆς καὶ ἱερολογίας, ὁ ἱερεὺς δοξολογεῖ τὸν Θεόν. Τί
prayer and sacred-speech the priest glorifies — God why
οὖν τὸ τρισσὸν ἐπιφημίζει τοῦ Θεοῦ, καὶ οὐ τὸ ἑνιαῖον;
then the threefold does-he-pronounce — of-God and not the unitary
Οὐ γάρ, εὐλογητὸς Θεός, ἤ, Εὐλογημένη ἡ τοῦ Θεοῦ
not for blessed (is)-God or blessed the — of-God
βασιλεία· ἀλλὰ τοῖς προσώποις διῃρημένος, «Εὐλογημένη
kingdom but in-the persons divided blessed
ἡ βασιλεία, φησί, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου
the kingdom he-says of-the Father and of-the Son and of-the Holy
Πνεύματος·» ὅτι διὰ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου
Spirit because through the incarnation of-the Lord
πρώτης, ἔμαθον οἱ ἄνθρωποι, ὡς εἴη τρία πρόσωπα
first learned the men that is three persons
ὁ Θεός. Ταύτῃ δὲ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου,
— God in-this-way and of-the incarnation of-the Lord

μυσταγωγία ἐστὶ τὰ τελούμενα· ὅθεν ἐν τοῖς προοιμίοις
(a)-mystagogy are the(-things) performed whence in the preambles
αὐτῶν ἔδει προλάμπειν καὶ κηρύττεσθαι τὴν Τριάδα.
of-them it-was-needful to-shine-forth and to-be-proclaimed the Trinity
Καὶ ὑπὸ τῶν ἄνω Δυνάμεων δοξάζεται ὁ Θεὸς τρισὶν
and by the above Powers is-glorified — God with-three
ἁγιασμοῖς, καὶ ὑπὸ ἀνθρώπων ἡ βασιλεία τοῦ Χριστοῦ
sanctifications and by men the kingdom — of-Christ
εὐλογεῖται, ὃς δυνάμει θεότητος αὐτοῦ τὸν ᾅδην ἐσκύλευσε,
is-blessed who by-power of-divinity his — Hades despoiled
καὶ ἡμᾶς ἠλευθέρωσε. Τὸ δέ, Ἀμήν, ἀληθῶς, ἢ γένοιτο.
and us freed the and Amen (is)-truly or so-be-it
Διὰ δὲ τό, «Εἰς αἰῶνας τῶν αἰώνων,» τὸν καπνὸν
because-of and the to (the)-ages of-the ages the smoke
τῆς πόλεως Βαβυλῶνος ἀναβαίνειν δηλοῦται, ὅτι τὸ αἷμα
of-the city of-Babylon to-go-up it-is-shown that the blood
τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς Βαβυλῶνος ἐξεζήτησε,
of-the servants his from the hand of-Babylon he-required
καὶ τοὺς αὐτῆς οἰκήτορας διὰ κολάσεως εὐηργέτησεν,
and the her inhabitants through punishment benefited
ἐκκοπὴν τῆς ἁμαρτίας ἐργασάμενος. Ὁ διάκονος· «Ἐν
(the)-cutting-off of-the sin having-worked the deacon in
εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.» Μετὰ δὲ τὴν δοξολογίαν,
peace to-the Lord let-us-pray after and the doxology
τὴν αἴτησιν λέγει· τὸ γὰρ «τί προσευξόμεθα καθὸ δεῖ
the petition he-says the for what we-shall-pray as (we)-ought
οὐκ οἴδαμεν.» Καὶ ἵνα μὴ βαττολογῶμεν, διδάσκει ἡμᾶς
not we-know and so-that not we-babble he-teaches us
ἃ δεῖ περὶ τῆς εὐχῆς, ὅτι ἐν εἰρήνῃ εὔχεσθαι δεῖ·
what (one)-must about the prayer that in peace to-pray (one)-must
οὔτ' ἐξομολογησαμένους πρότερον, οὔτ' εὐχαριστήσαντας
neither having-confessed first nor having-given-thanks

τῷ Θεῷ, ὅτι ἐν τῷ εἰπεῖν τὴν εἰρήνην κἀκεῖνα περιέλαβεν,
— to-God for in the to-say the peace those-too he-included
εἴ τις ἀκριβῶς ἐθέλει σκοπεῖν. Νῦν διδάσκει, πρῶτον
if one exactly wishes to-consider now he-teaches first
δεῖν αἰτεῖσθαι τὴν ἄνωθεν εἰρήνην καὶ τὴν τῶν ψυχῶν
(one)-must to-ask the from-above peace and the of-the souls
σωτηρίαν. Οὕτω γὰρ ὁ Χριστὸς ἐκέλευσεν αἰτεῖσθαι. Μετὰ
salvation so for — Christ commanded to-ask with
δὲ ἠρέμου νοὸς τὰς εὐχὰς ἡμῶν ἀποδῶμεν. «Τῆς παναγίας,
and calm mind the prayers our let-us-render of-the all-holy
ἀχράντου,» καὶ τὰ ἑξῆς. Τὰς πράξεις πάντων τῶν ἁγίων
undefiled and the following the deeds of-all the saints
μνησθέντες, ἕτερος τὸν ἕτερον, καὶ τὴν ζωὴν ἡμῶν ἅπασαν
having-remembered one the other and the life our whole
σὺν τοῖς καλοῖς ἡμῶν ἔργοις τῷ Θεῷ παραδώσωμεν.
with the good our works — to-God let-us-commit

THE ANTIPHONS AND THE ENTRANCE

The antiphons are the prophets announcing Christ's coming; Germanus explains each verse and the troparion "Only-begotten Son," which he gives to Joseph and Nicodemus, though some ascribe it to Justinian. The entrance of the Gospel is Christ's coming into the world, and the bishop's entrance his showing at the Jordan; the Thrice-holy hymn is sung with the angels and the Magi, and each holy names a person of the Trinity.

Τὰ ἀντίφωνά εἰσι τῶν προφητῶν αἱ προῤῥήσεις,
the antiphons are of-the prophets the predictions
προκαταγγέλλουσαι τὴν παρουσίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ,
announcing-beforehand the coming of-the Son — of-God
τὴν ἐκ Παρθένου ἐπὶ γῆς, καὶ βοῶσαι· «Ὁ Θεὸς ἡμῶν
the(-one) from (a)-Virgin on earth and crying — God our

ἐπὶ τῆς γῆς ὤφθη, καὶ εὐπρέπειαν ἐνεδύσατο·» ἤγουν τὴν
on the earth was-seen and comeliness put-on that-is the
σάρκωσιν αὐτοῦ δηλοῦσαι, ἣν ἡμεῖς ὑποδεξάμενοι καὶ
incarnation his showing which we having-received and
μαθόντες διὰ τῶν ὑπηρετῶν καὶ αὐτοπτῶν τοῦ Λόγου
having-learned through the servants and eyewitnesses of-the Word
γενομένων τῶν ἀποστόλων λέγομεν. Χρὴ δὲ εἰδέναι,
having-become the apostles say (one)-must and know
ὅτι ἐν ἀρχῇ πάσης τελετῆς ὀρθρινῆς τε καὶ λυχνικῆς
that at (the)-beginning of-every rite of-morning both and of-evening
πρῶτον τῆς Παλαιᾶς ᾄδονται οἱ ψαλμοί, εἶτα τὰ τῆς
first of-the Old are-sung the psalms then the of-the
νέας χάριτος ᾄσματα, ὡς προηγησαμένης τῆς Παλαιᾶς
new grace songs as having-gone-before the Old
Διαθήκης, ἧς νομοθέτης οὗτος ὁ γεννηθεὶς ἐπ᾽
Testament of-which lawgiver this(-one) the(-one) born at
ἐσχάτων τῶν ἡμερῶν ἐχρημάτισεν, ἵν᾽ ἔχωσιν εἰδέναι
(the)-last of-the days was-called that they-may-have to-know
πάντες, ὡς εἷς καὶ ὁ αὐτὸς Θεὸς καὶ Δεσπότης, ὁ
all that one and the same God and Master the(-one)
ταῦτα κἀκεῖνα νομοθετήσας Χριστός.
these-things and-those having-legislated Christ
Ἀντίφωνον α΄. «Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ.»
antiphon one (it-is)-good the to-give-thanks to-the Lord
Τὰ κατὰ τὴν καρδίαν ἡμῶν ἔργα, διηγήσασθαι τῷ Κυρίῳ
the in the heart our works to-tell to-the Lord
ἀγαθόν ἐστι. «Καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.»
good is and to-sing-psalms to-the name your Most-High
Ἐν μέλει εἰπεῖν οὓς σοι προσφέρομεν ὕμνους δεῖ.
in song to-say which to-you we-offer hymns (one)-must
«Τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν
to-the to-proclaim in-the morning the mercy your and the

ἀλήθειάν σου κατὰ νύκτα.» Τοῦ διηγήσασθαι φανερῶς, τό,
truth your by night to-the to-tell openly the
πῶς ἠλεήθημεν, καὶ κατὰ πάσης ἁμαρτίας προσφέρειν τὴν
how we-were-pitied and against all sin to-bring the
ἀλήθειαν τῶν πραγμάτων σου. «Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς
truth of-the deeds your for upright (the)-Lord — God
ἡμῶν.» Ἐπειδὴ ἀληθὴς Κύριος ὁ Θεὸς ἡμῶν. «Καὶ οὐκ
our since true (the)-Lord — God our and not
ἔστιν ἀδικία ἐν αὐτῷ.» Καὶ οὐδὲν ψευδὲς παρὰ τῷ Θεῷ.
there-is injustice in him and nothing false with — God
«Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.» Ἀκμὴν καὶ
still and still in peace to-the Lord let-us-pray yet and
ἀκμὴν μετὰ ἠρέμου νοὸς τοῦ Κυρίου δεηθῶμεν. Ἐκφώνως·
yet with calm mind the Lord let-us-beseech aloud
«Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ
for yours (is)-the might and yours is the kingdom and the
δύναμις καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ
power and the glory of-the Father and of-the Son and of-the
ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν
Holy Spirit now and ever and to the ages of-the
αἰώνων. Ἀμήν.» Ὅτι σοῦ ἐστιν ἡ κυρία καὶ ἡ βασιλεία
ages amen for yours is the lordship and the kingdom
πάντων τῶν ὁράτων τε καὶ ἀοράτων, καὶ διὰ τοῦτο
of-all the visible both and invisible and for this
ἡμεῖς οἱ ἐπὶ γῆς τὴν εὐχαριστίαν ἅπαντες καὶ δόξαν
we the(-ones) on earth the thanksgiving all and glory
ἀδιαλείπτως σοι ἀναπέμπομεν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς
unceasingly to-you send-up now and ever and to the
αἰῶνας τῶν αἰώνων. Ἀμήν, ἔστιν, ἀληθῶς, ἤ, γένοιτο.
ages of-the ages amen (it)-is truly or so-be-it

Ἀντίφωνον β΄. «Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν
antiphon two the Lord has-reigned comeliness
ἐνεδύσατο.» Ὁ Κύριος ἐβασίλευσεν ἐπὶ τοὺς οὐρανούς, καὶ
he-put-on the Lord reigned over the heavens and
τὸν πιστὸν λαὸν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος
the faithful people acquired through the own blood
αὐτοῦ καὶ ἐξῆλθεν εἰς πόλεμον κατὰ τοῦ διαβόλου. «Καὶ
his and went-out to war against the devil and
γὰρ ἐστερέωσε τὴν οἰκουμένην ἥτις οὐ σαλευθήσεται.»
for he-established the world which not will-be-shaken
Ἐστερέωσε τὴν οἰκουμένην τὴν Ἐκκλησίαν ἐν τῇ πίστει
he-established the world the Church in the faith
αὐτοῦ, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. «Τὰ
his and (the)-gates of-Hades not will-prevail-against it the
μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει
testimonies your have-been-made-sure exceedingly to-the house your befits
ἁγίασμα, Κύριε.» Τὰ παθήματά σου ἐπιστεύθησαν εἰς
holiness Lord the sufferings your were-believed in
τὸν κόσμον· τῷ λαῷ σου πρέπει ἡ χάρις σου εἰς
the world to-the people your befits the grace your to
τοὺς ἀτελευτήτους αἰῶνας. Συντέτακται δὲ τῷ τέλει τοῦ
the endless ages is-joined and to-the end of-the
πρώτου ἀντιφώνου τό, «Ταῖς πρεσβείαις τῆς Θεοτόκου
first antiphon the by-the intercessions of-the God-bearer
σῶσον ἡμᾶς.» Τίνος χάριν; ἢ πάντως βεβαιοῦν τὰ
save us for-what reason other-than certainly to-confirm the(-things)
πρότερον εἰρημένα, περὶ τοῦ τύπου τῆς Ἀειπαρθένου,
before said about the type of-the Ever-Virgin
ὡς τῆς αὐτῆς αὐτὴ προηγεῖται διακονίας, καὶ ἀληθοῦς
as of-the same she leads ministry and true
οἰκονομίας. Τοῦ δευτέρου δὲ τὸ ἐφύμνιον. «Ταῖς πρεσβείαις
dispensation of-the second and the refrain by-the intercessions

τῶν ἁγίων σου.» Ἐπεὶ γὰρ ὑπὲρ σωτηρίας ψυχῶν καὶ
of-the saints your since for for (the)-salvation of-souls and
συγχωρήσεως πταισμάτων τὴν θείαν τελοῦμεν μυσταγωγίαν,
forgiveness of-falls the divine we-perform mystagogy
εἰκότως, ὡς ὑπερτέραν οὖσαν τὴν Θεομήτορα πάντων
fittingly as higher being the Mother-of-God than-all
τῶν ἁγίων, ἢ καὶ αὐτῶν τῶν ἐπουρανίων Δυνάμεων, εἰς
the saints or even them the heavenly Powers for
ἱκεσίαν προκαλούμεθα· εἶτα τοὺς εὐαρεστήσαντας τῷ
supplication we-call-upon then the(-ones) having-pleased to-the
ταύτης Υἱῷ. Τὸ δὲ τροπάριον, ὃ κατὰ τὸ τέλος τοῦ
her Son the and troparion which at the end of-the
δευτέρου ἀντιφώνου, λέγεται, τό, «Ὁ Μονογενὴς καὶ Λόγος
second antiphon is-said the the Only-begotten and Word
τοῦ Θεοῦ,» καὶ τὰ ἑξῆς, ποίημά ἐστιν Ἰωσὴφ καὶ
— of-God and the following (the)-composition is of-Joseph and
Νικοδήμου. Ἀπαίροντες γὰρ τὸν Κύριον πρὸς τὸ ἐνταφιάσαι
Nicodemus taking-down for the Lord for the to-bury
αὐτόν, ἐμυήθησαν αὐτό, ἀπὸ τοῦ τιμίου καὶ ζωοποιοῦ
him they-were-initiated-into it from the precious and life-giving
σώματος Κυρίου, καὶ τῆς ἐν αὐτῷ ἀχωρίστου θεότητος.
body of-(the)-Lord and the in it inseparable divinity
Ἔνιοι δὲ λέγουσιν, ὅτι τὸ αὐτὸ τροπάριον ἐκπεφώνηται
some but say that the same troparion has-been-proclaimed
παρὰ τοῦ τῆς θείας λήξεως βασιλέως Ἰουστινιανοῦ,
by the of-the divine lot emperor Justinian
σφόδρα καὶ αὐτὸ τοῖς συμβόλοις τῆς Χριστοῦ γεννήσεως
very and it to-the symbols of-the of-Christ birth
ἐφαρμόζον. Οὗτος γάρ, φησίν, ὁ γεννηθείς, ὁ
fitting this(-one) for he-says the(-one) born the
μονογενὴς Υἱὸς καὶ Λόγος προανάρχου Πατρὸς ὑπάρχων,
only-begotten Son and Word of-(the)-beginningless Father being

καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ
having-consented for the our salvation to-be-incarnate from
τῆς ἁγίας Θεοτόκου, ἀτρέπτου μεινάσης τῆς θεότητος
the holy God-bearer unchangeable having-remained the divinity
καὶ ἀσυγχύτου, εἷς ἐστι τῆς ἁγίας Τριάδος, ἐνανθρωπήσας
and unconfused one is of-the holy Trinity having-become-man
καὶ σταυρωθῆναι καταδεξάμενος, ὁ καὶ ἐν Τρισαγίῳ
and to-be-crucified having-consented the(-one) also in (the)-Thrice-holy
ὕμνῳ συνδοξαζόμενος ὑπὸ τῶν νοερῶν καὶ οὐρανίων
hymn glorified-together by the intellectual and heavenly
Δυνάμεων. Ἀνεκφοιτήτως γὰρ καὶ ἀχωρίστως τῶν
Powers without-going-out for and inseparably from-the
πατρικῶν κόλπων καταβὰς σεσάρκωται. Αὐτὸς οὖν ἐστι
paternal bosom having-come-down has-been-incarnate he then is
ὁ σώζων ἡμᾶς. Ὁ διάκονος· «Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ.»
the(-one) saving us the deacon still and still in peace
Ὁ ἱερεὺς ἐκφώνως· «Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς
the priest aloud for good and loving-mankind God
ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ
you-are and to-you the glory we-send-up to-the Father
καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν.» Ἀγαθὸς Θεός,
and to-the Son and to-the Holy Spirit now good God
λέγομεν, καὶ φιλάνθρωπος εἶ, ὅτι τὸν Υἱόν σου εἰς
we-say and loving-mankind you-are because the Son your into
τὸν κόσμον ἱλασμὸν ἀπέστειλας. Διὰ τοῦτο τὴν δόξαν
the world (as)-propitiation you-sent for this the glory
καὶ εὐχαριστίαν σοι ἀναπέμπομεν, ὅ ἐστι, προσάγομεν
and thanksgiving to-you we-send-up which is we-bring
νῦν καὶ πάντοτε εἰς τοὺς αἰῶνας.
now and always to the ages

Ἀντίφωνον γ΄· «Δεῦτε, ἀγαλλιασώμεθα τῷ Κυρίῳ.»
antiphon three come let-us-rejoice in-the Lord
Δεῦτε, ἐμπλησθῶμεν πάσης χαρᾶς ἐν Κυρίῳ· «Ἀλαλάξωμεν
come let-us-be-filled with-all joy in (the)-Lord let-us-shout
τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.» Δεηθῶμεν μετὰ δακρύων τῷ
— to-God the Savior our let-us-pray with tears —
Θεῷ ἡμῶν Ἰησοῦ· «Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ
place wherever — it-may-be it in (the)-midst of-the earth the
σωτηρίαν ἐργάζεσθαι ἐπεμφαίνει· ἔνθα δὴ καὶ πάντα
salvation to-work it-indicates where indeed also all
τὰ τοῦ πάθους ὑπέστη Κύριος, τὴν προδοσίαν, τὴν
the(-things) of-the passion underwent (the)-Lord the betrayal the
κρίσιν, τὰ πρὸ τοῦ σταυροῦ, καὶ μετὰ τὸν σταυρόν.
judgment the(-things) before the cross and after the cross
Εἰκότως οὖν οἱ ἅγιοι Πατέρες, οὕτω τελεῖσθαι ταῦτα
fittingly then the holy Fathers so to-be-performed these-things
καὶ προσφέρεσθαι ἐδογμάτισαν.
and to-be-offered decreed
Ὁ δίσκος ἐστὶν ἀντὶ τῶν χειρῶν Ἰωσὴφ καὶ Νικοδήμου,
the paten is instead-of the hands of-Joseph and Nicodemus
τῶν κηδευσάντων τὸν Χριστόν. Ἑρμηνεύεται δὲ δίσκος,
the(-ones) having-buried — Christ is-interpreted and (the)-paten
ἔνθα ὁ Χριστὸς ἐπιφέρεται, κύκλος οὐρανοῦ, ἐμφαίνων
where — Christ is-carried (as)-(the)-circle of-heaven showing
ἐν μικρᾷ περιγραφῇ τὸν νοητὸν ἥλιον, Χριστὸν ἐν τῷ
in small compass the intelligible sun Christ in the
ἄρτῳ ὁρώμενον. Τὸ δὲ ποτήριόν ἐστιν, ἀντὶ τοῦ σκεύους,
bread seen the and chalice is instead-of the vessel
ὃ ἐδέξατο τὸ ἐκβληθὲν αἷμα τῆς κεντηθείσης ἀχράντου
which received the poured-out blood of-the pierced undefiled
πλευρᾶς, καὶ χειρῶν καὶ ποδῶν τοῦ Χριστοῦ ἀπομύρισμα.
side and hands and feet — of-Christ (the)-outpouring
Ποτήριον δὲ πάλιν ἐστὶ κατὰ τὸν κρατῆρα, ὃν γράφει
(the)-chalice and again is after the bowl which writes

κυρίως ἡ σοφία, ἤτοι ὁ Υἱὸς τοῦ Θεοῦ· ἐκέρασε γὰρ τὸ
properly the wisdom or the Son — of-God he-mixed for the
αἷμα αὐτοῦ, ἀντὶ τοῦ οἴνου ἐκείνου, καὶ προέθηκεν ἐν τῇ
blood his instead-of the wine that and set-forth on the
ἁγίᾳ τραπέζῃ, λέγων τοῖς πᾶσι· Πίετε τὸ αἷμά μου ἀντὶ
holy table saying to-the all drink the blood my instead-of
οἴνου κεκερασμένου ὑμῖν, «εἰς ἄφεσιν ἁμαρτιῶν» καὶ εἰς
wine mixed for-you for forgiveness of-sins and for
ζωὴν αἰώνιον. Χριστὸς ἡ τοῦ Θεοῦ σοφία καὶ δύναμις, τὴν
life eternal Christ the — of-God wisdom and power the
ἑαυτοῦ σάρκα ᾠκοδόμησεν, ἐξ ἀπειράνδρου Μητρὸς ἁγνῆς
his-own flesh built from (a)-husbandless Mother pure
καὶ Παρθένου, τῆς προκαθαρθείσης ψυχῇ καὶ σώματι·
and Virgin the(-one) purified-beforehand in-soul and body
«Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν·»
and the Word flesh became and dwelt among us
καὶ ὑπήρεισε στύλους ἑπτά, τὴν τοῦ ἁγίου Πνεύματος
and set-up pillars seven the of-the Holy Spirit
ἑβδομάδα· ὥς φησιν ὁ Ἡσαΐας· «Ἐπαναπαύσεται γὰρ ἐπ᾽
sevenfold(-gift) as says — Isaiah will-rest for upon
αὐτὸν ἑπτὰ Πνεύματα.» Ἤγουν αἱ ἑπτὰ ἐνέργειαι τοῦ
him seven Spirits that-is the seven activities of-the
Πνεύματος· ἐν οἷς εἰσιν ἀντίθετα τῆς πονηρίας ὁμοίως.
Spirit in which are opposites of-the wickedness likewise
«Ἔσφαξε τὰ ἑαυτῆς θύματα,» τοὺς προφήτας τοὺς
she-slew the her-own victims the prophets the(-ones)
κατὰ καιρὸν ἀναιρουμένους παρὰ τῶν ἀπίστων ὑπὲρ τῆς
from-time to-time slain by the unbelievers for the
ἀληθείας, καὶ βοῶντας, «Ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν
truth and crying for-the-sake-of you we-are-being-killed all the
ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.» Καὶ ἐκέρασεν
day we-were-reckoned as sheep of-slaughter and she-mixed

εἰς κρατῆρα τὸν ἑαυτῆς εἰς τὴν ὑπεραγίαν Παρθένον,
in (a)-bowl the her-own in the all-holy Virgin
τὴν ἑαυτοῦ θεότητα, ἑνώσας τῇ σαρκὶ ὡς οἶνον
the his-own divinity having-united to-the flesh as wine
ἄκρατον. Ὁ Σωτὴρ γὰρ ἐγεννήθη ἐξ αὐτῆς ἀσυγχύτως
unmixed the Savior for was-born from her unconfusedly
καὶ ἀσυνδιαίστως, Θεὸς καὶ ἄνθρωπος, καὶ ἡτοιμάσατο
and undividedly God and man and she-prepared
τὴν ἑαυτῆς τράπεζαν, τὴν ἐπίγνωσιν τῆς ἁγίας Τριάδος
the her-own table the knowledge of-the holy Trinity
καταγγελλομένην· ἀπέστειλε δὲ τοὺς ἑαυτῆς δούλους, εἰς
proclaimed sent and the her-own servants into
τὸν σύμπαντα κόσμον προσκαλουμένους πάντα τὰ ἔθνη
the whole world calling all the nations
εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ, καὶ τοῖς ἐνδεέσι φρενῶν
to the knowledge — of-God and to-the lacking of-wits
εἶπε, τοῖς μήπω κεκτημένοις τοῦ ἁγίου Πνεύματος τὴν
she-said to-the(-ones) not-yet possessing of-the Holy Spirit the
χάριν· «Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον,
grace come eat the my bread and drink (the)-wine
ὃν κεκέρακα ὑμῖν.» Τὴν θείαν αὐτοῦ σάρκα, καὶ τὸ ἅγιον
which I-have-mixed for-you the divine his flesh and the holy
αὐτοῦ αἷμα δέδωκεν ἡμῖν ὁ Χριστὸς ἐσθίειν καὶ πίνειν
his blood has-given us — Christ to-eat and to-drink
εἰς ἄφεσιν ἁμαρτιῶν. Τὸ δισκοκάλυμμά ἐστιν, ἀντὶ τοῦ
for forgiveness of-sins the paten-veil is instead-of the
σουδαρίου, ὃ ἦν ἐπὶ τοῦ προσώπου αὐτοῦ, περικαλύπτον
napkin which was on the face his covering
αὐτὸν ἐν τῷ τάφῳ. Τὸ δὲ καταπέτασμα, ἤγουν ὁ ἀήρ
him in the tomb the and veil that-is the aer
ἐστι, καὶ λέγεται ἀντὶ τοῦ λίθου, οὗ ἠσφάλισε τὸ
is and is-called instead-of the stone with-which secured the

μνημεῖον ὁ Ἰωσήφ, ὅνπερ ἐσφράγισεν ἡ τοῦ Πιλάτου
tomb — Joseph which sealed the — of-Pilate
κουστωδία. Ἰδοὺ ἐσταύρωται ὁ Χριστός· τέθαπται ἡ
guard behold has-been-crucified — Christ has-been-buried the
ζωή· ἠσφαλίσθη ὁ τάφος· ἐσφράγισται ὁ λίθος.
life was-secured the tomb has-been-sealed the stone
Ἡ δὲ νίψις τῶν χειρῶν, ἀντὶ τοῦ νίψαντος, καί,
the and washing of-the hands (is)-instead-of the(-one) having-washed and
«Ἀθῷός εἰμι,» φωνήσαντος. Καθ' ἡμᾶς δὲ τοὺς ἱερεῖς
innocent I-am having-cried for and us the priests
δηλοῖ, ἵνα καθαρεύοντες τὸ συνειδός, νοῦν καὶ διάνοιαν,
it-shows that being-pure (in)-the conscience mind and understanding
ἅτινά εἰσι χεῖρες τῶν ἡμετέρων ψυχῶν, μετὰ φόβου
which are hands of-the our souls with fear
καὶ πραότητος καὶ ἐπιεικείας πάσης, προσίωμεν τῇ
and meekness and gentleness all we-may-approach the
ἁγίᾳ τραπέζῃ. «Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου.»
holy table I-will-wash in innocent(-things) the hands my
Προσθήσω τοῖς καθαροῖς ἱερεῦσι τὰς δύο φύσεις μου·
I-will-add to-the pure priests the two natures my
τὰς τῆς ψυχῆς χεῖρας λέγω, νίψομαι ἐν ἁγνότητι.» Καὶ
the of-the soul hands I-mean I-will-wash in purity and
κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε·» ὅτιπερ ἀεὶ τῷ
I-will-go-around the altar your Lord because always —
Θεῷ προσεδρεύειν ὀφείλομεν, οὐδαμοῦ πρὸς τὴν ἄσωτον
to-God to-attend we-ought in-no-way into the profligate
ἁμαρτίαν ἐμπίπτοντες. Καὶ ἄλλως· Λειτουργήσω σοι, καὶ
sin falling and otherwise I-will-minister to-you and
μεταδώσω τῷ πιστῷ λαῷ. «Τοῦ ἀκοῦσαί με φωνὴν
I-will-impart to-the faithful people for-the to-hear me (the)-voice
αἰνέσεώς σου,» τὴν ἐκφώνησιν δηλοῖ τοῦ, «Τὰ σὰ ἐκ τῶν
of-praise your the exclamation it-shows of-the the yours from the

σῶν σοι προσφέροντες.» Καὶ ἄλλως· Τὴν ἀνάγνωσιν λέγει·
yours to-you offering and otherwise the reading he-says
Ἀκούσω καὶ διδάξω τὸν αὐτὸν λαόν, ἤγουν τὸν πιστόν·
I-will-hear and I-will-teach the same people that-is the faithful
καὶ ἀκούσαντες φυλάξομεν ἅμα τὰς ἐντολάς σου. «Καὶ
and having-heard we-shall-keep together the commandments your and
διηγήσομαι πάντα τὰ θαυμάσιά σου·» τὰς μυστικὰς λέγω
I-will-tell all the wonders your the mystical I-mean
εὐχὰς τῆς φιλανθρωπίας. «Κύριε, ἠγάπησα εὐπρέπειαν
prayers of-the love-of-mankind Lord I-have-loved (the)-beauty
τοῦ οἴκου σου·» τὴν Ἐκκλησίαν λέγει. Εὐπρέπεια δὲ τῆς
of-the house your the Church he-says (the)-beauty and of-the
Ἐκκλησίας, ὁ πιστὸς λαός ἐστι. «Καὶ τόπον σκηνώματος
Church the faithful people is and (the)-place of-(the)-tabernacle
δόξης σου·» τὴν καθαρὰν μήτραν λέγει τῆς Παρθένου, ἐν
of-glory your the pure womb he-says of-the Virgin in
ᾗ ἐσκήνωσε. Καὶ ἄλλως· «Τὸν τόπον ἔνθα σὺ κατοικεῖς.»
which he-dwelt and otherwise the place where you dwell

THE KISS OF PEACE, THE CREED, AND THE DOORS

The deacon's petitions commit the gifts and our lives to God; the priest gives the peace and all are bidden to love one another. The doors are closed, the Creed is said so that all may know the faith, and the aer recalls the night of Christ's betrayal, trial, and Peter's denial. Then the veil is raised, as the angel rolled the stone away, and the anaphora begins with the priest standing before God's throne.

Τὴν δέησιν δὲ ἀποπληροῦντες ὑπὲρ τῶν ἐνεχθέντων τιμίων
the petition and completing for the brought precious
δώρων, λέγει· «Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης
gifts he-says of-the all-holy undefiled super-blessed

Δεσποίνης ἡμῶν Θεοτόκου, τοῦ τε Προδρόμου, καὶ
Lady our God-bearer of-the and Forerunner and
ἀποστόλων καὶ πάντων τῶν ἁγίων τὸν βίον καὶ τὰς
apostles and of-all the saints the life and the
πράξεις μνησθέντες, οὕτω καὶ ἡμεῖς ἕτερος ἑτέρου
deeds having-remembered so also we one with-another
ἀμιλληθέντες, τὴν ζωὴν ἡμῶν ἅπασαν μετὰ τῶν ἁγίων
having-vied the life our whole with the saints
παραδώσωμεν τῷ Θεῷ σὺν ἔργοις ἀγαθοῖς· διὰ τῶν
let-us-commit — to-God with works good through the
οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς
compassions of-the only-begotten your Son with whom blessed
εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.» Διὰ τῆς συμπαθείας
you-are to the ages of-the ages through the sympathy
τοῦ Υἱοῦ σου τῆς εἰς ἡμᾶς, εὐλογοῦμέν σε σὺν ἁγίῳ
of-the Son your the toward us we-bless you with Holy
Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. «Εἰρήνη πᾶσιν.»
Spirit now and ever and to the ages peace to-all
Ὁμογνωμοσύνην καὶ ἀγάπην καὶ ταυτότητα ἀλλήλοις
like-mindedness and love and sameness to-one-another
συνάπτοντες, τοῦ Κυρίου τὴν μίμησιν αὐτοὶ ἀντιλαμβάνομεν,
joining of-the Lord the imitation we take-up
εἰρήνην τὴν οἰκείαν ἀφιέντος, καὶ διδόντος, καὶ ἐκφωνοῦντος,
peace the his-own leaving and giving and crying-aloud
ἤρεμον τὸν νοῦν πάντες σχῶμεν. «Καὶ τῷ Πνεύματί
calm the mind all let-us-have and with-the Spirit
σου.» Τουτέστι, Τὴν πρὸς σὲ ἀδιαίρετον ἕνωσιν δὸς ἡμῖν,
your that-is the toward you undivided union give us
ἵνα τῷ Πνεύματι εἰρηνεύοντες, ἀχώριστοι τυγχάνωμεν.
that in-the Spirit being-at-peace inseparable we-may-be
«Ἀγαπήσωμεν ἀλλήλους.» Τὰς ψυχὰς ἀλλήλων συνδέσμῳ
let-us-love one-another the souls of-one-another with-(a)-bond

συνάψαντες, καὶ οὕτως δυνησόμεθα μετὰ παῤῥησίας
having-joined and so we-shall-be-able with boldness
ἀπολαῦσαι τῆς προκειμένης τραπέζης. Τό, «Ἀγαπήσωμεν
to-enjoy the set-before(-us) table the let-us-love
ἀλλήλους,» δηλοῖ καὶ τὴν πρὸς πάντας ἀγάπην, καὶ εἰς
one-another shows also the toward all love and toward
ἑαυτοὺς ἀλλήλους, καὶ τὴν τοῦ Θεοῦ γενησομένην ὁμόνοιαν,
ourselves one-another and the — of-God about-to-be concord
καὶ τὴν τῶν αἰσθήσεων πάροδον, καὶ τὴν τῶν νοητῶν
and the of-the senses passing and the of-the intelligible(-things)
φανέρωσιν, καὶ τὴν τοῦ ἁγίου συμβόλου τῆς πίστεως, καὶ
manifestation and the of-the holy creed of-the faith and
τὴν καινὴν τοῦ θείου μυστηρίου διαδοχήν. «Τὰς θύρας,
the new of-the divine mystery succession the doors
τὰς θύρας, ἐν σοφίᾳ.» Τὰς ἐνθυμήσεις τῶν διανοιῶν
the doors in wisdom the thoughts of-the minds
ἡμῶν ἄρωμεν ἀπὸ τῶν γηΐνων ἔργων καὶ ἐνθυμημάτων.
our let-us-lift from the earthly works and thoughts
«Πρόσχωμεν ἐν τῇ σοφίᾳ.» Ἤγουν ἐν τῷ Υἱῷ καὶ Λόγῳ
let-us-attend in the wisdom that-is in the Son and Word
τοῦ Θεοῦ, καὶ εἰς τὴν σοφίαν τοῦ θείου συμβόλου τοῦ,
— of-God and to the wisdom of-the divine creed the
παρὰ τῶν ἁγίων καὶ θεοφόρων Πατέρων ἐκτεθέντος, ἐν τῇ
by the holy and God-bearing Fathers set-forth in the
τοῦ Θεοῦ ἐκκλησίᾳ προσέξωμεν· τουτέστι, τοῦ «Πιστεύω
— of-God church let-us-attend that-is to-the I-believe
εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα.» Καὶ ἐκόντες καὶ
in one God Father almighty and willing and
συνιέντες μετ᾽ ἠρέμου νοὸς προσέλθωμεν τῇ μυστικῇ
understanding with calm mind let-us-approach to-the mystical
ζωοθυσίᾳ. Τὸ θεῖον τῆς ὀρθοδόξου πίστεως σύμβολον
living-sacrifice the divine of-the orthodox faith creed

λέγεσθαι διατέτακται, ἵν' ἐκ τούτου γνώριμον εἴη
to-be-said has-been-ordained that from this known it-may-be
τοῖς πᾶσιν, ὅτι ὁ εἷς τῆς ἁγίας Τριάδος ὁ μονογενὴς
to-the all that the one of-the holy Trinity the only-begotten
Υἱὸς καὶ Λόγος τοῦ προανάρχου Πατρός, οὗτος διὰ τὴν
Son and Word of-the beginningless Father this(-one) for the
ἡμετέραν σωτηρίαν ἄνθρωπος γέγονε, σαρκωθεὶς ἐκ τῆς
our salvation man has-become incarnate from the
ἁγίας Παρθένου, σταυρωθείς, καὶ ταφείς, καὶ ἀναστάς.
holy Virgin crucified and buried and risen
Οὐ κατὰ τὰς θείας ἐντολάς, τὰ τελούμενα ταῦτα
not according-to the divine commandments the(-things) performed these
πράττομεν, ἵνα μὴ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις εἰσαεὶ
we-do so-that not in-words only but also in-deeds forever
τῆς σωτηρίας ἡμῶν ἐνεργουμένης, οὕτω φαινώμεθα ζῶντες
the salvation our being-worked so we-may-appear living
ὁμοῦ καὶ πολιτευόμενοι. Καὶ τὰ μὲν πάθη σαρκὶ τοῦτον
together and conducting(-ourselves) and the indeed sufferings in-flesh this(-one)
ὑπομεμενηκέναι ὁμολογῶμεν· ἀπαθῆ δὲ τούτου φυλάττεσθαι
to-have-endured let-us-confess impassible but his to-be-kept
τὴν θεότητα· ἅμα δέ, ἵνα τῇ ἐκφωνήσει τοῦ θείου τοῦδε
the divinity at-once and that in-the proclamation of-the divine this
συμβόλου, καὶ οἱ ἀγνῶτες καὶ ἀμαθεῖς, τούτου ἀκούοντες
creed also the ignorant and unlearned it hearing
ᾄδομένου, διὰ παντὸς ἐν γνώσει ἔχωσι τὰ ἔκφορα
sung through all in knowledge may-have the publishable(-things)
τοῦ μυστηρίου τῆς πίστεως, καὶ ταῖς τῶν πολλῶν ἀκοαῖς
of-the mystery of-the faith and to-the of-the many ears
οὐκ ἀπόῤῥητα. Ἡ δὲ τῶν θυρῶν κλεῖσις, καὶ ἡ ἐπάνωθεν
not unspeakable the and of-the doors closing and the from-above
τούτων ἐξάπλωσις τοῦ καταπετάσματος, ὡς οἱ ἐν τοῖς
them spreading of-the veil as the(-ones) in the

μοναστηρίοις εἰώθασι, καὶ ἡ διὰ τοῦ λεγομένου ἀέρος
monasteries are-accustomed and the through the so-called aer
τῶν θείων ἐπικάλυψις, ὡς οἶμαι, τὴν νύκτα ἐκείνην
of-the divine(-gifts) covering as I-think the night that
δηλοῖ, καθ' ἣν ἡ τοῦ μαθητοῦ προδοσία προέβη, καὶ ἡ
shows in which the of-the disciple betrayal went-forward and the
πρὸς Καϊάφαν ἀπαγωγή, καὶ ἡ πρὸς Ἄνναν παράστασις,
to Caiaphas leading-away and the before Annas presentation
καὶ αἱ ψευδομαρτυρίαι· ναὶ μὴν καὶ οἱ ἐμπαιγμοί, καὶ οἱ
and the false-witnessings yes indeed and the mockings and the
κολαφισμοί, καὶ τἆλλα ὅσα τὸ τηνικαῦτα συμβέβηκε.
buffetings and the-rest as-many-as — at-that-time happened
Διὰ τί ἄλλο γὰρ τὸ κάλυμμα τοῦτο ἀὴρ ὠνομάσθη,
for what other for the covering this aer was-named
ἢ πάντως διὰ τὸ τὸν ἐπικαλυπτόμενον παρ' αὐτοῦ
or surely because-of the the covered by it
σκοτεινὸν ἀέρα, τῆς εἰρημένης νυκτὸς εἰκονίζεσθαι; Καθ' ἣν
dark air of-the said night to-be-represented in which
καὶ Πέτρος ὁ μέγας, ἔξω τῆς θύρας ἑστώς, πρεσβείᾳ
also Peter the great outside of-the door standing by-(the)-intercession
τοῦ ἐγνωσμένου τῷ ἀρχιερεῖ μαθητοῦ, ἔνδον ἐγένετο τῆς
of-the known to-the high-priest disciple inside came of-the
αὐλῆς, ἔνθα καὶ ἡ παιδίσκη τούτῳ ἐντυχοῦσα, καὶ οἱ
court where also the maidservant him meeting and the(-ones)
πρὸς τῇ πυρᾷ παρεστῶτες, διήλεγχον, καὶ τὰ λοιπὰ
by the fire standing-by convicted(-him) and the rest(-things)
τούτῳ ἐπηκολούθησαν, ὅσα πρὸς τὸν κρημνὸν τῆς
him followed as-many-as to the precipice of-the
ἀρνήσεως κατήπειγον· δι' ᾗ τὸ πτῶμα συγχωρηθέντα,
denial hurried through which the fall allowed
ἧττονα γενέσθαι τῆς ἐπάρσεως, ἢ τῆς καυχήσεως.
less to-become than-the exaltation or the boasting

Αἰρομένου δὲ τοῦ ἀέρος, καὶ τοῦ καταπετάσματος
being-lifted and the aer and the veil
συστελλομένου, τῶν θυρῶν τε ἀνοιγομένων, ἡ πρωΐα
being-drawn-back the doors and opening the morning
διατυποῦται, καθ' ἣν ἀπήγαγον αὐτόν, καὶ παρέδωκαν
is-represented in which they-led-away him and handed(-him)-over
Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Πρόσεισιν ὁ ἱερεύς,
to-Pontius Pilate the governor approaches the priest
συνέρχεται ταῖς ἀγγελικαῖς δυνάμεσιν, οὐκέτι ὡς
he-comes-together-with the angelic powers no-longer as
ἐν ἐπιγείῳ τόπῳ ἑστώς, ἀλλ' ὡς ἐν τῷ ἐπουρανίῳ
in (an)-earthly place standing but as at the heavenly
θυσιαστηρίῳ, ἔμπροσθεν τοῦ φοβεροῦ θυσιαστηρίου τοῦ
altar before the fearful altar of-the
θρόνου τοῦ Θεοῦ παριστάμενος, θεωρεῖ τὸ μέγα καὶ
throne — of-God standing-by he-contemplates the great and
ἀνερμήνευτον καὶ ἀνεξιχνίαστον τοῦ Χριστοῦ μυστήριον.
uninterpretable and untraceable — of-Christ mystery
Ὁμολογεῖ τὴν χάριν, κηρύττει τὴν ἀνάστασιν, σφραγίζει
he-confesses the grace proclaims the resurrection seals
τὴν πίστιν τῆς ἁγίας Τριάδος. Πρόσεισι λευχειμονῶν ὁ
the faith of-the holy Trinity approaches clothed-in-white the
ἄγγελος, τὸν λίθον τοῦ τάφου ἀποκυλίων τῇ χειρί·
angel the stone of-the tomb rolling-away with-the hand
δεικνύων τῷ σχήματι, βοῶν τῇ φωνῇ ἐντρόμῳ· καὶ
showing by-the gesture crying with-the voice trembling and
διὰ τοῦ διακόνου κηρύττων τὴν τριήμερον ἔγερσιν·
through the deacon proclaiming the three-day rising
καὶ ὑψῶν τὸ καταπέτασμα, φωνεῖ ὁ διάκονος λέγων·
and raising the veil cries-out the deacon saying
«Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου·» ἰδοὺ πρώτη ἡμέρα.
let-us-stand well let-us-stand with fear behold (the)-first day

«Πρόσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ·» ἰδοὺ δευτέρα ἡμέρα.
let-us-attend to-the holy anaphora behold (the)-second day
«Ἐν εἰρήνῃ προσφέροντες·» ἰδοὺ τρίτη ἡμέρα. Καὶ ἄλλως·
in peace offering behold (the)-third day and otherwise
«Στῶμεν καλῶς.» Τὰς διανοίας ἡμῶν στερεωμένας ἔχοντες,
let-us-stand well the minds our made-firm having
ἀκούσωμεν τῆς μυστικῆς ζωοθυσίας. Ὁ λαὸς βοᾷ τὴν τῆς
let-us-hear of-the mystical living-sacrifice the people cries the of-the
ἀναστάσεως τοῦ Χριστοῦ χάριν· «Ἔλαιον εἰρήνης, θυσίαν
resurrection — of-Christ grace (the)-oil of-peace (the)-sacrifice
αἰνέσεως.» Ὁ δὲ ἱερεὺς διδάσκει τὸν λαόν, ἣν διὰ τῆς
of-praise the and priest teaches the people which through the
χάριτος τοῦ Χριστοῦ μεμάθηκε τριαδικὴν θεογνωσίαν. «Ἡ
grace — of-Christ he-has-learned trinitarian knowledge-of-God the
χάρις τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, εἴη μετὰ πάντων
grace of-the holy and consubstantial Trinity be with all
ὑμῶν.» Ἄλλοι δὲ ἱερεῖς προφέρουσιν οὕτως· «Ἡ χάρις τοῦ
you other and priests pronounce(-it) thus the grace of-the
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ
Lord our Jesus Christ and the love — of-God and
Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ
Father and the communion of-the Holy Spirit be with
πάντων ὑμῶν.» Ὁ λαὸς συνομολογεῖ, καὶ συνεύχεται λέγων·
all you the people confesses-with(-him) and prays-with(-him) saying
«Καὶ μετὰ τοῦ πνεύματός σου.» Ὡς ἀνωτέρω ἔφημεν,
and with the spirit your as above we-said
οὕτω πράξωμεν. Ἢ οὕτως· Ἐὰν πράξωμεν ὡς ἀνωτέρω
so let-us-do or so if we-do as above
ἔφημεν, ἡ χάρις καὶ ἡ ἀγάπη τοῦ Κυρίου μετὰ πάντων
we-said the grace and the love of-the Lord (be)-with all
ἡμῶν. Αὐτὸς γὰρ διὰ τὴν ἀγάπην αὐτοῦ, ἣν εἰς
us he for because-of the love his which toward

ἡμᾶς ἐνεδείξατο, τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἀπέστειλε,
us he-showed the Son his into the world sent
καὶ τὸ σῶμα αὐτοῦ ἱλασμὸν εἰς τὴν ζωοθυσίαν δέδωκε,
and the body his (as)-propitiation for the living-sacrifice gave
καὶ τὸ αἷμα αὐτοῦ, τὸ ῥύσιον ποτήριον εὐφροσύνης.
and the blood his the ransoming cup of-gladness
Εἶτα πάντας ὁ ἱερεὺς ἀναβιβάζων εἰς τὴν ἄνω Ἱερουσαλὴμ
then all the priest raising-up to the above Jerusalem
τὴν ἐπουράνιον, ἐν ᾗ ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν πρὸ
the heavenly in which standing were the feet our before
τῆς ἐκπτώσεως, «Ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ, εἰς τὸ
the fall in the courts your Jerusalem to the
ὄρος τὸ ἅγιον αὐτοῦ, βοᾷ, Βλέπετε, ἄνω σχῶμεν τὰς
mountain the holy his he-cries look up let-us-have the
καρδίας.» Οἱ πάντες διαμαρτύρονται λέγοντες· «Ἔχομεν
hearts the all testify saying we-have
πρὸς τὸν Κύριον.» Ὁ ἱερεύς· «Εὐχαριστήσωμεν τῷ
(them)-to the Lord the priest let-us-give-thanks to-the
Κυρίῳ.» Βλέπετε, «Ἄνω σχῶμεν τὰς καρδίας.» Ἀπὸ τῶν
Lord look up let-us-have the hearts from the
γηΐνων ἄρωμεν τὰς αἰσθήσεις εἰς τὸν ἄνω βασιλέα, καὶ τὰ
earthly(-things) let-us-lift the senses to the above king and the
αὐτοῦ ἀρεστὰ πράξωμεν. «Εὐχαριστήσωμεν τῷ Κυρίῳ.»
his pleasing(-things) let-us-do let-us-give-thanks to-the Lord
Ἤγουν τῷ δόντι ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν καὶ
that-is to-the(-one) having-given himself (as)-ransom for us and
ἀντάλλαγμα, εὐχαριστήριον ὕμνον ἀπονείμωμεν τῷ Κυρίῳ·
(in)-exchange (a)-thanksgiving hymn let-us-render to-the Lord
καὶ τὴν ἐφ᾽ ἧς ἐσώθημεν τροπήν, εὐχαριστίαν καὶ δόξαν
and the on which we-were-saved turn thanksgiving and glory
ἀπονείμωμεν τῷ Κυρίῳ. Ὅτι «Ἄξιον καὶ δίκαιόν ἐστι,»
let-us-render to-the Lord for worthy and right it-is

φησὶν ὁ λαός. Τὸ καταπέτασμα λέγεται διὰ τὸν λέγοντα
says the people the veil is-spoken-of because-of the saying
Ἀπόστολον, ὅτι «Ἔχομεν παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν
Apostle that we-have boldness for the entrance of-the
ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ Χριστοῦ, ἣν ἀνεκαίνισεν
holy(-places) by the blood of-Jesus Christ which he-renewed
ἡμῖν ὁδὸν σωτηρίας, καὶ πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ
for-us (a)-way of-salvation both new and living through the
καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερεὺς
veil that-is of-the flesh his and (a)-priest
μέγας ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ.» Εἶτα πρόεισιν ὁ ἱερεὺς
great over the house — of-God then goes-forward the priest
μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος τοῦ Θεοῦ, μετὰ
with boldness to-the throne of-the grace — of-God with
ἀληθινῆς καρδίας, ἐν πληροφορίᾳ πίστεως, ἀπαγγέλλων
true heart in full-assurance of-faith announcing
τῷ Θεῷ, καὶ συλλαλῶν μόνος αὐτῷ, οὐκέτι διὰ νεφέλης,
— to-God and conversing alone with-him no-longer through (a)-cloud
ὥς ποτε Μωσῆς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἀλλ᾽
as once Moses in the tabernacle of-the testimony but
ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτεύων·
with-unveiled face the glory of-(the)-Lord beholding
καὶ μεμύηται τὴν τῆς ἁγίας Τριάδος θεογνωσίαν
and he-has-been-initiated-into the of-the holy Trinity knowledge-of-God
καὶ πίστιν, καὶ μόνος μόνῳ προσλαλεῖ Θεῷ μυστήρια,
and faith and alone with-(the)-alone converses God mysteries
μυστήρια ἀπαγγέλλων ἐν μυστηρίοις, τὰ κεκρυμμένα
mysteries announcing in mysteries the(-things) hidden
πρὸ τῶν αἰώνων καὶ ἀπὸ γενεῶν, νῦν δὲ φανερωθέντα
before the ages and from generations now but made-manifest
ἡμῖν διὰ τῆς ἐπιφανείας τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἅπερ ἡμῖν
to-us through the appearing of-the Son — of-God which to-us

ἐξηγήσατο ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον
explained the only-begotten Son the(-one) being in the bosom
τοῦ Πατρός. Καθὼς γὰρ ἐλάλησεν ὁ Θεὸς τῷ Μωσῇ
of-the Father as for spoke — God — to-Moses
ἀοράτως, καὶ ὁ Μωσῆς πρὸς τὸν Θεόν· οὕτω καὶ ὁ ἱερεύς,
invisibly and — Moses to — God so also the priest
μέσον τῶν δύο Χερουβὶμ ἑστὼς ἐν τῷ ἱλαστηρίῳ,
(in)-the-midst of-the two Cherubim standing in the mercy-seat
καὶ κατακύπτων διὰ τὴν ἄστεκτον καὶ ἀθεώρητον τῆς
and bending-down because-of the unbearable and unseeable of-the
θεότητος δόξαν τε καὶ λαμπρότητα, τὴν οὐράνιον λατρείαν
divinity glory both and brightness the heavenly worship
νοερῶς ὁρᾷ, καὶ μυεῖται τῆς ζωαρχικῆς καὶ μοναρχικῆς
intellectually sees and is-initiated-into of-the life-originating and monarchic
ὑπερουσίου Τριάδος τὴν θείαν ἔλλαμψιν, τοῦ μὲν Θεοῦ
super-substantial Trinity the divine illumination — indeed of-God
καὶ Πατρός, τὸ ἄναρχον καὶ ἀγέννητον· τοῦ δὲ Υἱοῦ
and Father the beginningless and unbegotten of-the and Son
καὶ Λόγου, τὸ συνάναρχον καὶ ὁμοούσιον, καὶ γεννητόν·
and Word the co-beginningless and consubstantial and begotten
τοῦ δὲ ἁγίου Πνεύματος, τὸ συναΐδιον καὶ ὁμοφυὲς καὶ
of-the and Holy Spirit the co-eternal and connatural and
ἐκπορευτόν, Τριάδα ἁγίαν κατὰ τὴν τῶν ὑποστάσεων
proceeding (a)-Trinity holy according-to the of-the hypostases
(εἴτουν προσώπων) ἀσύγχυτον ἀϊδιότητα, κατὰ δὴ
or persons unconfused eternity according-to indeed
τὴν τῆς φύσεως ἕνωσιν, ἀδιαίρετον καὶ ἀδιάστατον μίαν
the of-the nature union undivided and inseparable one
θεότητα, καὶ βασιλείαν καὶ δόξαν. Καὶ νοερῶς ὁρᾷ καὶ
divinity and kingdom and glory and intellectually he-sees and
βοᾷ τὴν τῶν Σεραφικῶν δυνάμεων τρισάγιον δοξολογίαν,
cries the of-the Seraphic powers thrice-holy doxology

τῶν μὲν Χερουβὶμ ἐπισκιαζόντων, καὶ τῶν Σεραφὶμ
the indeed Cherubim overshadowing and the Seraphim
κεκραγότων, μεθ' ὧν βοᾷ· «Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα.»
having-cried-out with whom he-cries the triumphal hymn singing

THE HOLY, HOLY, HOLY

The people sing the Sanctus in place of the cherubim and the four living creatures. Germanus explains the Hosanna with its Hebrew words, and the deacons' fans as the six-winged seraphim and many-eyed cherubim. Christ is the High Priest who entered the heavens, and the Spirit, sent to the apostles, consecrates the mysteries through the priest's hand. The angels veiled their faces at each of the sufferings, until the cross.

Εἶτα ὁ λαός, ἀντὶ τῶν Χερουβικῶν δυνάμεων καὶ
then the people instead-of the Cherubic powers and
τετραμόρφων ζώων βοᾷ· «Ἅγιος, ἅγιος, ἅγιος, Κύριος
four-formed living-creatures cries holy holy holy Lord
Σαβαώθ·» τουτέστιν ὁ Τρισάγιος καὶ εἷς Θεὸς τῶν
Sabaoth that-is the Thrice-holy and one God of-the
δυνάμεων. «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ
powers hosanna in the highest blessed (is)-the(-one)
ἐρχόμενος ἐν ὀνόματι Κυρίου.» Ὡσαννά ἐστι, Σῶσον
coming in (the)-name of-(the)-Lord Hosanna is save
δή, ὥς φησιν· «Ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.» —
indeed as he-says the(-one) coming in (the)-name of-(the)-Lord
«Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα·» ᾄδοντά ἐστιν ὁ ἀετός·
the triumphal hymn singing singing is the eagle
βοῶντά ἐστιν, ὁ βοῦς· κεκραγότα, ὁ λέων· καὶ λέγοντα,
crying is the ox having-cried the lion and saying
ἄνθρωπος. Λογικὸς ἄνθρωπος ἀντὶ τῶν Χερουβικῶν
(the)-man (a)-rational man instead-of the Cherubic

δυνάμεων, καὶ τὰ τετράμορφα ζῶα βοᾷ· Ἅγιος,
powers and the four-formed living-creatures cries holy
ἅγιος, ἅγιος, Κύριος Σαβαώθ.» Ἅγιος μὲν ὁ Πατήρ, ὡς
holy holy Lord Sabaoth holy indeed the Father as
κυρίως ἅγιος καὶ μακάριος· ἐκείνη γὰρ καὶ μόνη μακαρία
properly holy and blessed that for also only blessed
φύσις, ἡ τοῦ Θεοῦ. Ἅγιος ὁ Υἱός, ὡς Λόγος Θεοῦ
nature the(-one) — of-God holy the Son as Word of-God
καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, καὶ ἐκμαγεῖον
and (the)-stamp of-the hypostasis his and (the)-impression
τοῦ ἀρχετύπου καὶ σφραγὶς ἀκίνητος, καὶ ἀναλλοίωτος
of-the archetype and seal unmoved and unaltered
φύσις· Υἱὸς μέν, ὡς ἐξ αὐτοῦ, ἤγουν ἐκ τοῦ Πατρός,
nature Son indeed as from him that-is from the Father
γεννηθεὶς ἀπαθῶς, ὡς Λόγος ἐκ νοῦ, καὶ ὡς δι᾽ αὐτοῦ
begotten impassibly as (a)-Word from (a)-mind and as through him
γεγενῆσθαι τὰ πάντα, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα,
to-have-come-to-be the all(-things) the both visible and the invisible
κατὰ τὸν Ἀπόστολον· «Τῷ γὰρ Λόγῳ Κυρίου οἱ
according-to the Apostle by-the for Word of-(the)-Lord the
οὐρανοὶ ἐστερεώθησαν,» ὥς φησιν ὁ Δαβίδ· ἅγιον δὲ καὶ
heavens were-established as says — David holy and also
τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον,
the Spirit the Holy the(-one) from the Father proceeding
καὶ ἐν Υἱῷ ἀναπαυόμενον, καὶ ἁγιάζον τὰ πάντα, καὶ
and in (the)-Son resting and sanctifying the all(-things) and
τελεσιουργόν, μὴ τελειούμενον· ἁγιάζον, οὐχ ἁγιαζόμενον.
perfecting not being-perfected sanctifying not being-sanctified
Ὥσπερ γὰρ ὁ ἥλιος, πηγὴ καὶ αἰτία τῆς τε ἀκτῖνος καὶ
as for the sun (the)-source and cause of-the both ray and
τῆς ἐλλάμψεως ὤν, διὰ δὲ τῆς ἀκτῖνος ἡμῖν ἡ ἔλλαμψις
of-the illumination being through and the ray to-us the illumination

μεταδίδοται, καὶ αὕτη ἐστὶν ἡ φωτίζουσα ἡμᾶς, καὶ
is-imparted and this is the(-one) enlightening us and
μετεχομένη ὑφ' ἡμῶν· οὕτω δὴ καὶ ὁ Θεὸς καὶ Πατήρ,
partaken by us so indeed also — God and Father
πηγὴ οὖσα καὶ αἰτία Υἱοῦ καὶ ἁγίου Πνεύματος.
(the)-source being and cause of-(the)-Son and Holy Spirit
Τὸ δὲ Πνεῦμα, ἐκ Πατρὸς ἐκπορευόμενον, δι' Υἱοῦ
the and Spirit from (the)-Father proceeding through (the)-Son
διαδίδοται καὶ πεφανέρωται. Τὸ δὲ εἰπεῖν, Κύριος, ἑνοῖ
is-given and has-been-manifested the and to-say Lord unites
τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ
the Father and the Son and the Spirit the Holy and
ἓν τὰ τρία δείκνυσι. Τρίτον Ἅγιος τὰ Σεραφὶμ λέγουσι,
one the three shows (a)-third(-time) holy the Seraphim say
πληροῦντα τὴν δοξολογίαν εἰς τό· Κύριος Σαβαώθ· ἑνιαίαν
completing the doxology at the Lord Sabaoth single
φύσιν τιθέντα, τὴν ἁγίαν Τριάδα, ὡς καὶ ὑπ' αὐτῶν ἡμῖν
nature setting the holy Trinity as also by them to-us
μεμαρτύρηται τῶν ἁγίων Σεραφίμ· ἡμεῖς δὲ οἱ πιστοὶ τὸν
has-been-testified the holy Seraphim we and the faithful the
Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ἐν ᾧ τὴν
Father and the Son and the Holy Spirit in whom the
τελειότητα ἐλάβομεν, σὺν ἀγγέλοις ἀσιγήτως θεολογοῦμεν
perfection we-received with angels unceasingly proclaim-as-God
δοξάζοντες· τοῦτο γὰρ ταῖς ὑποστάσεσι Τριάς· εἷς
glorifying this for in-the hypostases (is)-(a)-Trinity one
δὲ ὁ Θεός, ᾧ καὶ ψάλλομεν· «Εὐλογημένος ὁ
but — God to-whom also we-sing blessed (is)-the(-one)
ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννά, ἐν τοῖς ὑψίστοις.»
coming in (the)-name of-(the)-Lord hosanna in the highest
Τὸ Ἑβραϊκὸν οὕτω κεῖται· Ὡσαννά, Ἀδωναΐ, Ἀσδινά,
the Hebrew so stands Hosanna adonai asdina

Βαρούχ, Πατήρ, Ἀββάθ, Σεμμά, Δενίαν, Σαβαώθ. Ὁ Θεὸς
baruch Father abbath semma denian sabaoth — God
τῶν δυνάμεων, ὁ θελήσας τυθῆναι τὸν μόσχον
of-the powers the(-one) having-willed to-be-sacrificed the calf
τὸν σιτευτόν· καὶ μόσχος ὁ ἀεὶ θυόμενος ἑκών,
the fatted and (the)-calf the(-one) always sacrificed willing
καὶ ἀεὶ ζῶν, ὁ τελεσιουργῶν τὴν μυστικὴν θυσίαν,
and always living the(-one) perfecting the mystical sacrifice
καὶ ἀεὶ ἐπιφοιτῶν διὰ τοῦ βαπτίσματος· ἅγιος εἶ,
and always visiting through the baptism holy you-are
Βασιλεῦ τῶν αἰώνων, καὶ πάσης ἁγιωσύνης δοτήρ. Σὺ
King of-the ages and of-all holiness giver you
εἶ ὁ παντοκράτωρ, ὁ σφραγίζων τὰ ἅγια δῶρα.
are the almighty the(-one) sealing the holy gifts
Ἅγιος δὲ καὶ ὁ μονογενής σου Υἱὸς ὁ Κύριος ἡμῶν
holy and also the only-begotten your Son the Lord our
Ἰησοῦς Χριστός, ὁ πρὸ τῶν αἰώνων ἐκ σοῦ ἀῤῥήτως
Jesus Christ the(-one) before the ages from you unspeakably
γεννηθείς· ἅγιον δὲ τὸ Πνεῦμά σου τὸ πανάγιον, τὸ
begotten holy and the Spirit your the all-holy the(-one)
ἐρευνῶν τὰ πάντα καὶ τὰ βάθη σοῦ τοῦ Θεοῦ· δι᾽
searching the all(-things) and the depths of-you — God through
οὗ ἅπαντα τὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἁγιάζεται.
whom all the(-things) in heaven and on earth is-sanctified
Τὰ δὲ ῥιπίδια καὶ οἱ διάκονοι, ἐμφαίνουσι τὰ ἑξαπτέρυγα
the and fans and the deacons show the six-winged
Σεραφίμ, καὶ τὴν τῶν πολυομμάτων Χερουβὶμ ἐμφέρειαν.
Seraphim and the of-the many-eyed Cherubim likeness
Καὶ γὰρ κατὰ τὴν τῶν ὑπερκοσμίων καὶ ἐπουρανίων
and for according-to the of-the supramundane and heavenly
ὑπερκόσμιον καὶ νοερὰν τάξιν, οὕτω καὶ τὰ ἐπίγεια
supramundane and intellectual order so also the earthly(-things)

μιμοῦνται. Καὶ γὰρ τὰ τετράμορφα ζῶα, ἀντιφωνητικῶς
imitate and for the four-formed living-creatures antiphonally
ἀλλήλοις ἀντιδεχόμενα, βοῶσι· τὸ μὲν πρῶτον ζῶον,
one-another answering cry the indeed first living-creature
τὸ εἰς ὁμοίωμα λέοντος βοᾷ, Ἅγιος. Τὸ δὲ δεύτερον,
the(-one) in (the)-likeness of-a-lion cries holy the and second
τὸ εἰς ὁμοίωμα μόσχου, βοᾷ, Ἅγιος. Τὸ δὲ τρίτον,
the(-one) in (the)-likeness of-a-calf cries holy the and third
τὸ εἰς ὁμοίωμα ἀετοῦ, βοᾷ, Ἅγιος. Τὸ δὲ τέταρτον,
the(-one) in (the)-likeness of-an-eagle cries holy the and fourth
τὸ εἰς ὁμοίωμα ἀνθρώπου, βοᾷ, Κύριος Σαβαώθ. Ἐν
the(-one) in (the)-likeness of-a-man cries Lord Sabaoth in
τρισὶν ἁγιασμοῖς, εἰς μίαν θεότητα συνιοῦσι κυριότητα
three sanctifications into one divinity they-come-together lordship
καὶ δύναμιν, καθὼς ὁ προφήτης τεθέαται, ὅτι «Εἶδα τὸν
and power as the prophet has-seen that I-saw the
Κύριον ἐπὶ θρόνου καθήμενον ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ
Lord on (a)-throne sitting high and lifted-up and
τὰς Σεραφικὰς δυνάμεις κύκλῳ ἑστώσας, καὶ ἐκ τῆς
the Seraphic powers around standing and from the
φωνῆς ἐπλήσθη ὁ οἶκος καπνοῦ.» Τὸ δέ, «Ἀπεστάλη
voice was-filled the house with-smoke the and was-sent
ἓν τῶν Σεραφίμ, καὶ εἶχεν ἄνθρακα ἐν τῇ χειρί, ὃν
one of-the Seraphim and had (a)-coal in the hand which
τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου,» σημαίνει τὸν
with-the tongs he-took from the altar signifies the
ἱερέα τὸν κατέχοντα τὸν νοερὸν ἄνθρακα, Χριστόν,
priest the(-one) holding the intellectual coal Christ
τῇ λαβίδι τῆς χειρὸς αὐτοῦ ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ,
with-the tongs of-the hand his at the holy altar
καὶ ἁγιάζοντα καὶ καθαίροντα τοὺς προσδεχομένους
and sanctifying and cleansing the(-ones) receiving

καὶ μεταλαμβάνοντας. Καὶ γὰρ εἰς τὰ οὐράνια καὶ
and partaking and for into the heavenly and
ἀχειροποίητα καὶ ἅγια εἰσῆλθεν ὁ Χριστός, καὶ
not-made-by-hands and holy(-places) entered — Christ and
ἐνεφανίσθη ἐν δόξῃ τῷ τοῦ Θεοῦ καὶ Πατρὸς προσώπῳ,
appeared in glory to-the — of-God and Father face
ὑπὲρ ἡμῶν γενόμενος ἀρχιερεὺς μέγας, διεληλυθὼς
for us having-become high-priest great having-passed-through
τοὺς οὐρανούς· καὶ ἔχομεν αὐτὸν παράκλητον πρὸς τὸν
the heavens and we-have him (as)-advocate with the
Πατέρα, καὶ ἱλασμὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὡς
Father and propitiation for the sins our as
καταρτισάμενον ἡμῖν τὸ ἅγιον καὶ συναΐδιον αὐτοῦ σῶμα
having-prepared for-us the holy and co-eternal his body
καὶ τὸ τίμιον αἷμα, λύτρον ὑπὲρ πάντων ἡμῶν, καθὼς ὁ
and the precious blood (as)-ransom for all us as he
αὐτὸς λέγει· «Πάτερ, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου,
himself says Father sanctify them in the name your
οὓς δέδωκάς μοι, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν
whom you-have-given me that they-may-be also they sanctified in
ἀληθείᾳ· καὶ θέλω ἵνα ὅπου ἐγώ εἰμι, καὶ οὗτοι ὦσι, καὶ
truth and I-will that where I am also these may-be and
θεωρῶσι τὴν δόξαν τὴν ἐμήν, ὅτι ἠγάπησα αὐτούς, καθὼς
may-behold the glory the my because I-loved them as
ἠγάπησας ἐμέ, πρὸ καταβολῆς κόσμου.» Αὐτὸς εἶπε·
you-loved me before (the)-foundation of-(the)-world he said
«Τοῦτό ἐστι τὸ σῶμά μου, τοῦτο τὸ αἷμά μου.» Αὐτὸς
this is the body my this the blood my he
καὶ τοῖς ἀποστόλοις ἐκέλευσε, καὶ δι᾽ ἐκείνων ἁπάσῃ τῇ
also to-the apostles commanded and through those to-all the
Ἐκκλησίᾳ, τοῦτο ποιεῖν· «Τοῦτο γάρ, φησί, ποιεῖτε εἰς τὴν
Church this to-do this for he-says do for the

ἐμὴν ἀνάμνησιν.» Οὐκ ἂν ἐκέλευσε τοῦτο ποιεῖν, εἰ
my remembrance not — he-would-have-commanded this to-do if
μὴ δύναμιν ἐνθῆσαι ἔμελλεν, ὥστε δύνασθαι τοῦτο ποιεῖν.
not power to-put-in he-was-going so-that to-be-able this to-do
Καὶ τίς ἡ δέησις; τὸ Πνεῦμα τὸ ἅγιον· ἡ
and what (is)-the supplication the Spirit the Holy the(-one)
ἐξ ὕψους τοὺς ἀποστόλους ὁπλίσασα, κατὰ τὸ
from (on)-high the apostles having-armed according-to the(-thing)
εἰρημένον πρὸς αὐτοὺς ὑπὸ τοῦ Κυρίου· «Καθίσατε ἐν
said to them by the Lord sit in
τῇ πόλει Ἱερουσαλήμ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ
the city Jerusalem until — you-are-clothed-with power from
ὕψους.» Τοῦτο τὸ ἔργον ἐκείνης τῆς καθόδου· οὐ γὰρ
(on)-high this (is)-the work of-that the descent not for
κατελθὸν ἅπαξ, εἶτα ἀπολέλοιπεν ἡμᾶς, ἀλλὰ μεθ' ἡμῶν
having-come-down once then has-left us but with us
ἐστι, καὶ ἔσται μέχρι παντὸς εἰς τὸν αἰῶνα. Τοῦτο διὰ
it-is and will-be until all(-time) to the age this through
τῆς χειρὸς τῶν ἱερέων καὶ τῆς γλώττης τὰ μυστήρια
the hand of-the priests and the tongue the mysteries
τελεσιουργεῖ· καὶ οὐ τὸ ἅγιον Πνεῦμα μόνον ἔπεμψεν ὁ
perfects and not the Holy Spirit only sent the
Κύριος ἡμῶν, ὥστε μένειν μεθ' ἡμῶν, ἀλλὰ καὶ αὐτὸς
Lord our so-that to-remain with us but also he
ἐπηγγείλατο μένειν μεθ' ἡμῶν, «ἕως τῆς συντελείας τοῦ
promised to-remain with us until the consummation of-the
αἰῶνος.» Ἀλλ' ὁ μὲν παράκλητος ἀόρατος πάρεστιν, ὅτι
age but the indeed Paraclete invisible is-present because
σῶμα αὐτὸς οὐκ ἐφόρεσεν. Ὁ δὲ Κύριος καὶ ὁρᾶται, καὶ
body he not wore the but Lord both is-seen and
ἁφῆς ἀνέχεται διὰ τῶν φρικτῶν καὶ ἱερῶν μυστηρίων,
touch endures through the awesome and holy mysteries

ὡς ἂν τὴν ἡμετέραν φύσιν δεξάμενος, καὶ φέρων εἰς
as — the our nature having-received and bearing(-it) to
τοὺς αἰῶνας. Αὕτη ἡ τῆς ἱερωσύνης δύναμις· οὗτος ὁ
the ages this (is)-the of-the priesthood power this(-one) the
ἱερεύς· οὐ γὰρ ἅπαξ ἑαυτὸν προσαγαγών, καὶ θύσας,
priest not for once himself having-offered and having-sacrificed
ἐπαύσατο τῆς ἱερωσύνης, ἀλλὰ διηνεκεῖ ταύτῃ λειτουργεῖ
ceased from-the priesthood but (in)-continual this he-ministers
τὴν λειτουργίαν ἡμῶν, καθ' ἣν καὶ παράκλητός ἐστιν
the liturgy our according-to which also advocate he-is
ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν δι' αἰῶνος, οὗ χάριν
for us with — God through (the)-age for-which reason
εἴρηται πρὸς αὐτόν· «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα.» Διὰ
it-has-been-said to him you (are)-priest for the age for
τοῦτο οὐδεμία τοῖς πιστοῖς περὶ τοῦ ἁγιασμοῦ τῶν δώρων
this no for-the faithful about the sanctification of-the gifts
ἀμφιβολία, οὐδὲ περὶ τῶν ἄλλων τελετῶν, εἰ κατὰ τὴν
doubt nor about the other rites if according-to the
πρόθεσιν καὶ τὰς εὐχὰς τῶν ἱερέων ἀποπληροῦνται.
purpose and the prayers of-the priests they-are-fulfilled
Τί δ' ἄν τις εἴποι, περὶ τῶν θείων ῥιπιδίων ἐγκεχειρισμένων
what and — one would-say about the divine fans entrusted
τοῖς διακόνοις, καὶ ὑπ' αὐτῶν στρεφομένων αἰφνιδίως ὡς
to-the deacons and by them turned suddenly as
ἐν ἐκπλήξει, ἄχρι τῆς θεολέκτου προσευχῆς; Τολμηρὸν
in amazement until the God-spoken prayer bold
μὲν οὖν τὸ περὶ τούτων φθέγγεσθαι ἔτι· ἐπεὶ δ'
indeed then the about these to-speak further since but
ἅπαξ ὑπείξαμεν τῇ ἐντολῇ τοῦ κελεύσματος, φέρε καὶ
once we-yielded to-the command of-the order come also
περὶ τούτων εἴπωμεν, ὅσα δοίη Θεός. Εἰ μὲν
about these let-us-say as-much-as may-grant God if indeed

καὶ τοῖς ἄλλοις δεκτά, τῷ Θεῷ χάρις· οὐ γὰρ πάντη
also to-the others acceptable — to-God thanks not for wholly
ψεκτά, εὖ οἶδα, οὐδ' ἔξω τῶν δογμάτων τῆς τῶν
blameworthy well I-know nor outside the doctrines of-the of-the
Χριστιανῶν ὀρθοδόξου πίστεως. Φαμὲν οὖν ὡς πάντοτε
Christians orthodox faith we-say then that always
μὲν ἀδιαστάτως συμπαρῆσαν καὶ δυνάμεις οὐράνιοι
indeed inseparably were-present also powers heavenly
τῷ Δεσπότῃ Χριστῷ· ἐξαιρέτως δὲ ἐν τῇ νυκτὶ
with-the Master Christ especially and in the night
ταύτῃ ᾗ παρεδόθη. Αὗται τοίνυν ὁρῶσαι τὴν πρὸς
this in-which he-was-betrayed these therefore seeing the to
Καϊάφαν ἀπαγωγήν, τὴν πρὸς ἄνθρωπον παράστασιν,
Caiaphas leading-away the before man presentation
τὰς ψευδομαρτυρίας, τὰ ῥαπίσματα, τὰ ἐμπτύσματα,
the false-witnessings the slaps the spittings
τὰ κολαφίσματα, τὴν χλεύην ἐκείνην τῶν Ἰουδαίων,
the buffetings the mockery that of-the Jews
τῶν στρατιωτῶν τὸ κόκκινον ἔνδυμα, τὸν ἐξ ἀκανθῶν
of-the soldiers the scarlet robe the from thorns
στέφανον, τὰς μετὰ γέλωτος προσκυνήσεις, τἄλλα πάντα,
crown the with laughter obeisances the-other all-things
ὅσα τε ἡ τῶν θείων Εὐαγγελίων ἱστορεῖ διήγησις, καὶ
as-many-as both the of-the divine Gospels recounts narrative and
ὅσα διὰ τὸ πλῆθος ἴσως παρέλειψεν, ἐφ' ἑκάστῳ
as-many-as because-of the multitude perhaps it-omitted at each
τῶν γινομένων διαποροῦσαι, καὶ ἐκπληττόμεναι τῆς
of-the(-things) happening being-at-a-loss and amazed of-the
μακροθυμίας τὸ μέγεθος, καλύπτουσαι τὰς ἑαυτῶν ὄψεις
long-suffering the greatness covering the their-own faces
ἀπεστρέφοντο, καὶ πάλιν τὴν δεσποτείαν αἰδούμεναι,
turned-away and again the lordship revering

ἀνθυπέστρεφον. Τοῦτο δὲ ἐποίουν ἄχρι τῆς ἐπὶ σταυροῦ
turned-back this and they-did until the on (the)-cross
ἀνυψώσεως. Τέλος γὰρ τῶν τοῦ σώματος παθῶν, καὶ
lifting-up (the)-end for of-the of-the body sufferings and
τῆς ἐπὶ τούτοις αἰσχύνης, ὁ σταυρὸς γέγονεν, ὃς δόξα
of-the at these shame the cross became which (is)-glory
μᾶλλον, καὶ οὐκ αἰσχύνη· ἀρχὴ γὰρ οὗτος τῶν
rather and not shame (the)-beginning for this(-one) of-the
ἐνεργειῶν καὶ δυνάμεων τῆς θεότητος. Ἐντεῦθεν γὰρ ὁ
activities and powers of-the divinity from-this for the
κοσμικὸς ἐκεῖνος σεισμός, τὸ τρίωρον σκότος ἐπὶ πᾶσαν
cosmic that earthquake the three-hour darkness over all
τὴν γῆν, ἥ τε τοῦ καταπετάσματος καὶ τῶν πετρῶν
the earth the both of-the veil and of-the rocks
διάῤῥηξις, καὶ ἡ τῶν μνημάτων ἄνοιξις· ἔτι γε μὴν καὶ
rending and the of-the tombs opening further indeed and also
ἡ τῶν νεκρῶν ἐξανάστασις, καὶ ὅσα ἐν ᾅδῃ κατελθὼν
the of-the dead resurrection and as-much-as in Hades having-gone-down
ὁ Σωτὴρ εἰργάσατο· καὶ διὰ τοῦτο παρ᾽ αὐτοῦ τῷ τόπῳ
the Savior worked and for this by him to-the place
τῆς σταυρώσεως γενομένῳ τῷ Χριστῷ, τὰ ἐκπλήξεως καὶ
of-the crucifixion having-come — to-Christ the of-amazement and
τοῦ θαύματος εἴδη αἱ θεῖαι δυνάμεις ἀπέθεντο. Κἀντεῦθεν
of-the wonder forms the divine powers laid-aside and-from-this
δῆλον, ὡς τὰ πρὸ τοῦ σταυροῦ πάντα ὀνείδη, καὶ
(it-is)-clear that the(-things) before the cross all reproaches and
αἱ χλευαστικαὶ τιμαί, καὶ οἱ καταγέλωτες, πλεῖον ἥπτοντο
the mocking honors and the derisions more touched
τοῦ πάσχοντος, ὥσπερ καὶ τῶν νοερῶν θείων δυνάμεων.
the(-one) suffering as also of-the intellectual divine powers

The priest recounts Christ's whole dispensation to the Father, from his birth to his coming again, and asks that the bread and wine become Christ's body and blood; the Spirit, present invisibly, seals and changes the gifts, and the priest, seeing the divine light, draws back in awe like Moses. The people praise the Trinity and the Mother of God is hymned; all are told to put away their anger, the dead are remembered in the hope of the resurrection, and the priest asks that all be made worthy to call God Father.

Εἶτα πάλιν ὁ ἱερεὺς ἐπαγγέλλει τῷ Θεῷ καὶ Πατρὶ
then again the priest announces — to-God and Father
τὰ τῆς Χριστοῦ ἐνανθρωπήσεως μυστήρια, τὴν ἐξ
the(-things) of-the of-Christ incarnation mysteries the from
ἁγίας Παρθένου καὶ Θεοτόκου ἀνέκφραστον γέννησιν, τὴν
holy Virgin and God-bearer inexpressible birth the
ἀναστροφὴν καὶ ἐμπολίτευσιν τὴν ἐν τῷ κόσμῳ, τὸν
way-of-life and citizenship the(-one) in the world the
σταυρόν, τὸν θάνατον, τὴν ἐν τῷ ᾅδῃ αὐτοῦ κατάβασιν,
cross the death the in the Hades his descent
τὴν τῶν δεσμίων δι' αὐτοῦ ἐλευθερίαν, τὴν ἐκ νεκρῶν
the of-the prisoners through him freedom the from (the)-dead
τριήμερον καὶ ἁγίαν ἀνάστασιν, τὴν ἐν τοῖς οὐρανοῖς
three-day and holy resurrection the into the heavens
ἀνάληψιν, τὴν ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς καθέδραν,
ascension the at (the)-right — of-God and Father session
τὴν δευτέραν καὶ μέλλουσαν αὐτοῦ ἔνδοξον παρουσίαν
the second and future his glorious coming
πάλιν, τὴν πρὸς ἡμᾶς. Καὶ πάλιν μυσταγωγεῖται Θεὸν
again the(-one) to us and again he-is-initiated-into God
ἀγέννητον, τουτέστι Θεὸν καὶ Πατέρα, καὶ γαστέρα πρὸ
unbegotten that-is God and Father and (the)-womb before

ἑωσφόρου, καὶ πρὸ αἰώνων τὸν Υἱὸν γεννῶσαν, καθὼς
(the)-morning-star and before ages the Son bearing as
λέγει· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγέννηκά σε.» Καὶ
he-says from (the)-womb before (the)-morning-star I-have-begotten you and
παρακαλεῖ πάλιν τελειῶσαι τὸ μυστήριον τοῦ Υἱοῦ αὐτοῦ,
he-beseeches again to-perfect the mystery of-the Son his
καὶ γεννηθῆναι, ἤτοι μεταποιηθῆναι αὐτὸν τὸν ἄρτον καὶ
and to-be-begotten or to-be-changed it the bread and
τὸν οἶνον, εἰς σῶμα καὶ αἷμα τοῦ Χριστοῦ καὶ Θεοῦ, καὶ
the wine into body and blood — of-Christ and God and
πληρωθήσεται τό· «Ἐγὼ σήμερον γεγέννηκά σε.» Ὅθεν καὶ
will-be-fulfilled the I today have-begotten you whence also
τὸ ἅγιον Πνεῦμα τῇ εὐδοκίᾳ τοῦ Πατρός, καὶ βουλήσει
the Holy Spirit by-the good-pleasure of-the Father and will
τοῦ Υἱοῦ, ἀοράτως παρόν, ὑποδεικνύει τὴν θείαν ἐνέργειαν,
of-the Son invisibly present shows the divine activity
καὶ τῇ χειρὶ τοῦ ἱερέως ἐπισφραγίζει, καὶ μεταβάλλει
and by-the hand of-the priest seals and changes
καὶ τελειοῖ τὰ προκείμενα ἅγια δῶρα εἰς σῶμα καὶ αἷμα
and perfects the set-forth holy gifts into body and blood
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος, ὅτι
of-the Lord our Jesus Christ the(-one) having-said that
«Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα ὦσι καὶ αὐτοὶ
for them I sanctify myself that they-may-be also they
ἡγιασμένοι.» Ὅπως; «Ὁ τρώγων μου τὴν σάρκα, καὶ
sanctified how the(-one) eating my the flesh and
πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ.» Ὅθεν
drinking my the blood in me abides and-I in him whence
γενόμενοι θείων μυστηρίων αὐτόπται, καὶ μέτοχοι ζωῆς
having-become of-divine mysteries eyewitnesses and partakers of-life
ἀθανάτου, καὶ κοινωνοὶ θείας φύσεως, δοξάζομεν τὸ μέγα καὶ
immortal and sharers of-divine nature we-glorify the great and

ἀκατάληπτον καὶ ἀνεξιχνίαστον μυστήριον τῆς οἰκονομίας
incomprehensible and untraceable mystery of-the dispensation
τοῦ Υἱοῦ τοῦ Θεοῦ· δοξάζοντες δὲ βοῶμεν· «Τὰ σὰ ἐκ
of-the Son — of-God glorifying and we-cry the yours from
τῶν σῶν σοι προσφέροντες·» ἐκ τοῦ σώματος καὶ αἵματος
the yours to-you offering from the body and blood
τοῦ εἰπόντος· «Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν·»
of-the(-one) having-said this do for the my remembrance
ὅ ἐστιν, Ἃ ἡμῖν διὰ τῶν ἁγίων σου ἀποστόλων
which is what to-us through the holy your apostles
παρέδωκας, ταῦτά σοι προσφέρομεν διὰ τὴν ἡμῶν
you-handed-down these-things to-you we-offer for the our
σωτηρίαν. Ὁ λαός· «Σὲ ὑμνοῦμεν, τὸν Θεὸν καὶ Πατέρα.
salvation the people you we-hymn — God and Father
Σὲ εὐλογοῦμεν, τὸν Υἱὸν καὶ Λόγον· σοὶ εὐχαριστοῦμεν
you we-bless the Son and Word to-you we-give-thanks
τῷ ἁγίῳ Πνεύματι· Κύριε ὁ Θεὸς ἡμῶν, Τριὰς ἐν μονάδι,
the Holy Spirit Lord — God our Trinity in unity
καὶ μονὰς ἐν Τριάδι,» ὁμοούσιε καὶ ἀδιαίρετε, παράδοξον
and unity in Trinity consubstantial and undivided paradoxical
ἔχουσα καὶ τὴν διαίρεσιν τῶν προσώπων, καὶ τὴν ἕνωσιν
having both the division of-the persons and the union
τῆς μιᾶς φύσεως τῆς θεότητος. Καὶ γὰρ τὸ ἐπικεκυφότως
of-the one nature of-the divinity and for the bending-over
ποιεῖν τὸν ἱερέα τὴν θείαν μυσταγωγίαν, ἐμφαίνει τὸ
to-do the priest the divine mystagogy shows the
συλλαλεῖν ἀοράτως τῷ μόνῳ Θεῷ. Ὅθεν καὶ τὴν θείαν
to-converse invisibly with-the only God whence also the divine
φωτοφάνειαν ὁρᾷ, καὶ τῇ λαμπρότητι τῆς δόξης τοῦ
appearance-of-light he-sees and by-the brightness of-the glory of-the
προσώπου τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐμφαιδρύνεται, καὶ ὑποστέλλει
face of-the Son — of-God is-made-radiant and draws-back

ἑαυτὸν τῷ φόβῳ καὶ τῇ αἰδοῖ· καθὼς Μωσῆς ὅτε εἶδε τὸν
himself in-the fear and the awe as Moses when he-saw —
Θεὸν ἐν εἴδει πυρὸς ἐν τῷ ὄρει, ἔντρομος γενόμενος,
God in (the)-form of-fire on the mountain trembling having-become
ἀνέστρεψε καὶ ἐκάλυψε τὸ πρόσωπον αὐτοῦ· εὐλαβεῖτο
turned-back and covered the face his he-feared
γὰρ κατανοῆσαι ἀπὸ τῆς δόξης τοῦ Θεοῦ τὸ πρόσωπον.
for to-look-at from the glory — of-God the face
«Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου.» Χρὴ ἡμᾶς τὴν
especially of-the all-holy undefiled must us the
Κυρίαν τοῦ παντὸς ἐπαινεῖν, καὶ τό, Χαῖρε, τοῦ ἀγγέλου
Lady of-the all to-praise and the Hail of-the angel
ἐκφωνεῖν. «Τὰ σὰ ἐκ τῶν σῶν.» Ὁ Θεὸς κατ' εἰκόνα
